πρότερον μέν γε ἐν τῷ Ἰνδῷ ποταμῷ κροκοδείλους 1.2
before indeed at-least in the Indus river crocodiles
ἰδών, μόνῳ τῶν ἄλλων ποταμῶν πλὴν Νείλου, πρὸς δὲ
having-seen alone of-the other rivers except the-Nile along and
ταῖς ὄχθαις τοῦ Ἀκεσίνου κυάμους πεφυκότας ὁποίους ἡ γῆ
the banks — of-Acesines beans grown such-as the land

ἐκφέρει ἡ Αἰγυπτία, καὶ ἀκούσας ὅτι ὁ Ἀκεσίνης ἐμβάλλει
produces the Egyptian and having-heard that — Acesines empties
ἐς τὸν Ἰνδόν, ἔδοξεν ἐξευρηκέναι τοῦ Νείλου τὰς ἀρχάς,
into — Indus he-thought to-have-found — of-Nile the sources
1.3 ὡς τὸν Νεῖλον ἐνθένδε ποθὲν ἐξ Ἰνδῶν ἀνίσχοντα
as — Nile from-there from-somewhere out-of Indians rising
καὶ δι᾽ ἐρήμου πολλῆς γῆς ῥέοντα καὶ ταύτῃ ἀπολλύοντα
and through desert much land flowing and there losing
τὸν Ἰνδὸν τὸ ὄνομα, ἔπειτα, ὁπόθεν ἄρχεται διὰ τῆς
— Indus the name then from-where it-begins through the
οἰκουμένης χώρας ῥεῖν, Νεῖλον ἤδη πρὸς Αἰθιόπων τε
inhabited country to-flow Nile now by Ethiopians both
τῶν ταύτῃ καὶ Αἰγυπτίων καλούμενον ἤ, ὡς Ὅμηρος
the there and Egyptians being-called or as Homer
ἐποίησεν, ἐπώνυμον τῆς Αἰγύπτου Αἴγυπτον, οὕτω δὴ
made named-after — of-Egypt Aegyptus so indeed
ἐσδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν.
to-flow-out into the inner sea
1.4 καὶ δὴ καὶ πρὸς Ὀλυμπιάδα γράφοντα ὑπὲρ τῶν Ἰνδῶν
and indeed also to Olympias writing about of-the Indians
τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη αὐτῷ
the land other-things both to-have-written and that it-seemed to-himself
ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς, μικροῖς δή τισι καὶ
to-have-found — of-Nile the springs from-small indeed some and
φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον.
trivial-signs about the such-great-things inferring
1.5 ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῷ ποταμῷ
when however more-exactly he-examined the-things about the river
τῷ Ἰνδῷ, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων τὸν
— Indus so indeed to-have-learned from the natives —
μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην δὲ τῷ Ἰνδῷ
indeed Hydaspes — with-Acesines — Acesines and — with-Indus

τό τε ὕδωρ ξυμβάλλοντας καὶ τῷ ὀνόματι ξυγχωροῦντας,
the both water joining and to-the name yielding
τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν,
— Indus and emptying already into the great sea
δίστομον τὸν Ἰνδὸν ὄντα, οὐδέν τι αὐτῷ προσῆκον τῆς
two-mouthed — Indus being nothing at-all to-it belonging of-the
γῆς τῆς Αἰγυπτίας· τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς
land the Egyptian then and of-the letter the to
τὴν μητέρα τοῦτο τὸ ἀμφὶ τῷ Νείλῳ γραφὲν ἀφελεῖν.
the mother this the about — Nile written to-have-removed
καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἔστε ἐπὶ τὴν 1.6
and the voyage-down the by the rivers as-far to the
μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί οἱ ἐπὶ
great sea intending to-be-prepared for-him for
τῷδε κελεῦσαι τὰς ναῦς. αἱ δὲ ὑπηρεσίαι αὐτῷ ἐς τὰς
this to-have-ordered the ships the and crews for-him into the
ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ
ships were-filled-up from the following the army
Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων.
Phoenicians and Cyprians and Carians and Egyptians
ἐν δὲ τούτῳ Κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρῳ 2.1
in and this Coenus indeed among the most-trusted to-Alexander
ὢν τῶν ἑταίρων νόσῳ τελευτᾷ· καὶ τοῦτον θάπτει ἐκ τῶν
being of-the companions by-disease dies and this-one he-buries from the
παρόντων μεγαλοπρεπῶς. αὐτὸς δὲ ξυναγαγὼν τούς τε
means-at-hand magnificently himself and having-gathered the both
ἑταίρους καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ᾽ αὐτὸν ἀφιγμένοι
companions and as-many-as of-Indians envoys to him having-arrived
ἦσαν βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε
were king indeed of-the having-been-taken already of-Indians land he-appointed

Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς
Porus seven indeed of-peoples of-the all of-cities and in the
ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. τὴν στρατιὰν δὲ διένειμεν ὧδε·
peoples over the two-thousand the army and he-distributed thus
2.2 αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἳ ξύμπαντας
himself indeed the shield-bearers both together-with himself all
ἐπὶ τὰς ναῦς ἀνεβίβασε καὶ τοὺς τοξότας καὶ τοὺς
on the ships he-embarked and the archers and the
Ἀγριᾶνας καὶ τὸ ἄγημα τῶν ἱππέων. Κρατερὸς δὲ αὐτῷ
Agrianians and the agema of-the cavalry Craterus and for-him
μοῖράν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην
part both of-the infantry and of-the cavalry along the bank
τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγεν· κατὰ δὲ τὴν ἑτέραν
— of-Hydaspes the on right led on and the other
ὄχθην τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς
bank the greatest both and strongest of-the army
καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προὐχώρει ἄγων, ἤδη
and the elephants Hephaestion advanced leading already
ὄντας ἐς διακοσίους· τούτοις δὲ ἦν παρηγγελμένον ὡς
being about two-hundred for-these and it-was ordered as
τάχιστα ἄγειν ἵναπερ τὰ Σωπείθου βασίλεια.
quickest to-lead where-indeed the of-Sopeithes palace
2.3 Φιλίππῳ δὲ τῷ σατράπῃ τῆς ἐπέκεινα τοῦ Ἰνδοῦ ὡς ἐπὶ
to-Philip and the satrap of-the beyond — Indus as toward
Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας παρήγγελτο
Bactrians land having-left-an-interval-of three days it-had-been-ordered
ἕπεσθαι ξὺν τοῖς ἀμφ' αὐτόν. τοὺς ἱππέας δὲ τοὺς
to-follow with the around him the cavalry and the
Νυσαίους ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. τοῦ μὲν δὴ
Nysaean back he-sends-away to — Nysa of-the indeed indeed
ναυτικοῦ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ
fleet all Nearchus for-him was-leader of-the and his-own

νεὼς κυβερνήτης ἦν Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ,
ship helmsman was Onesicritus who in the history
ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο,
which about Alexander he-wrote also this lied
ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα.
admiral himself to-be having-written helmsman being
ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν, ὡς λέγει Πτολεμαῖος 2.4
was and the whole number of-the ships as says Ptolemy
ὁ Λάγου, ᾧ μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν
the (son)-of-Lagus whom most I follow thirty-oared-ships indeed
ἐς ὀγδοήκοντα, τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς
about eighty the and all boats with the horse-transports
τε καὶ κερκούροις καὶ ὅσα ἄλλα ποτάμια ἢ τῶν
both and light-boats and as-many-as other river-craft either of-those
πάλαι πλεόντων κατὰ τοὺς ποταμοὺς ἢ ἐν τῷ τότε
formerly sailing on the rivers or in the then-(time)
ποιηθέντων οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων.
built not much falling-short-of the two-thousand
ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ 3.1
when and everything for-him had-been-prepared toward the dawn the
μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς
indeed army embarked-on the ships himself and sacrificed to-the
θεοῖς ὡς νόμος καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ ὅπως οἱ
gods as custom and to-the river — Hydaspes as the
μάντεις ἐξηγοῦντο. καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς
seers directed and having-embarked-on the ship from the
πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμόν,
prow out-of golden bowl he-poured-libation into the river
τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ, ὅντινα
— both Acesines invoking-together — with-Hydaspes which
μέγιστον αὖ τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ
greatest again of-the other rivers to-join — with-Hydaspes

ἐπέπυστο καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν
he-had-learned and not far them to-be the confluences and —
Ἰνδόν, ἐς ὅντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλλει.
Indus into which — Acesines with — Hydaspes empties

3.2 ἐπὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας καὶ
to and Heracles both the forefather having-poured-libation and
Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος
to-Ammon and to-the other gods to-as-many-as for-him custom
σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι. ἅμα
to-signal for putting-out he-orders with-the trumpet at-the-same-time
τε δὴ ἐσημάνθη καὶ ἀνήγοντο ἐν κόσμῳ. παρήγγελτο
both indeed it-was-signaled and they-put-out in order it-had-been-ordered
γὰρ ἐφ' ὅσων τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν
for at what-distances both the baggage boats were-required
τετάχθαι καὶ ἐφ' ὅσων τὰ ἱππαγωγά, ἐφ' ὅσων τε
to-be-posted and at what-distances the horse-transports at what-distances both
τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις
the fighting of-the ships so-that not to-collide with-one-another
κατὰ τὸν πόρον εἰκῇ πλεούσας· καὶ ταῖς ταχυναυτούσαις
in the passage at-random sailing and to-the fast-sailing
φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως.
to-get-ahead not it-was-permitted outside of-the formation

3.3 ἦν δὲ ὅ τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ ἐοικώς, ἅτε ἀπὸ
was and the both noise of-the rowing to-no other like as from
πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε
many ships at the-same-time being-rowed and shouting from both
τῶν κελευστῶν ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῇ
the boatswains giving the beginnings both and pauses to-the
εἰρεσίᾳ καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοντες τῷ ῥοθίῳ
rowing and of-the rowers whenever all-together falling-in on-the wash
ἐπαλαλάξειαν· αἵ τε ὄχθαι, ὑψηλότεραι τῶν νεῶν πολλαχῇ

οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγουσαι καὶ τῇ ξυναγωγῇ
being into narrow both the shouting gathering and by-the gathering
αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον, καί
itself to great increased to one-another sent-back and
που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τε ἐρημίᾳ
somewhere also glens on-either-side of-the river by-the both loneliness
καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου καὶ αὗται ξυνεπελάμβανον·
and by-the echoing of-the noise also these joined-in
οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, 3.4
the both horses appearing through the horse-transport boats
οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ Ἰνδῶν γῇ καὶ
not before horses on ships seen in the of-Indians land and
γὰρ καὶ τὸν Διονύσου ἐπ᾽ Ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο
for also the of-Dionysus against Indians expedition not they-remembered
γενέσθαι ναυτικόν, ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις
to-have-been naval amazement provided to-those watching
τῶν βαρβάρων, ὥστε οἱ μὲν αὐτόθεν τῇ ἀναγωγῇ
of-the barbarians so-that the-ones indeed thence at-the putting-out
παραγενόμενοι ἐπὶ πολὺ ἐφωμάρτουν,
having-been-present for long followed-along
ἐς ὅσους δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων 3.5
to as-many-as and of-the already to-Alexander having-come-over
Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας
Indians the shout of-the rowers or the noise of-the rowing
ἐξίκετο, καὶ οὗτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον καὶ ξυνείποντο
reached also these on the bank ran-down and followed-along
ἐπᾴδοντες βαρβαρικῶς. φιλῳδοὶ γάρ, εἴπερ τινὲς ἄλλοι,
singing barbarically fond-of-song for if-indeed any other
Ἰνδοὶ καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι καὶ τῶν
Indians and fond-of-dancing from Dionysus still and of-those
ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.
together-with Dionysus having-reveled throughout the of-Indians land

4.1 οὕτω δὴ πλέων τρίτῃ ἡμέρᾳ κατέσχεν, ἵναπερ
so indeed sailing on-the-third day he-put-in where-indeed
Ἡφαιστίωνί τε καὶ Κρατερῷ κατὰ τὸ αὐτὸ στρατοπεδεύειν
to-Hephaestion both and to-Craterus at the same to-encamp
ἐπὶ ταῖς ἀντιπέρας ὄχθαις παρήγγελτο. μείνας δὲ
on the opposite banks it-had-been-ordered having-waited and
ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ
there days two until also Philip to-him with the
λοιπῇ στρατιᾷ ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην
remaining army arrived this-one indeed to the Acesines
ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἦκε, τάξας παρὰ
river he-sends-out with whom having he-came having-ordered along
τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δὲ
the Acesines river the bank to-march those and
ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει,
around Craterus both and Hephaestion again he-sends-out
παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι.
having-instructed how it-is-necessary the march to-make

4.2 αὐτὸς δὲ ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμὸν οὐδαμοῦ
himself and sailed down the Hydaspes river nowhere
μείονα ἐν τῷ κατάπλῳ εἴκοσι σταδίων τὸ εὖρος.
less in the voyage-down than-twenty stades the breadth
προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις τοὺς
putting-in and wherever it-happened at-the banks the
προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδοὺς τοὺς μὲν ἐνδιδόντας
dwelling-by — Hydaspes Indians the-ones indeed surrendering
σφᾶς ὁμολογίαις παρελάμβανεν, ἤδη δέ τινας καὶ ἐς
themselves by-agreements he-received already and some also to
ἀλκὴν χωρήσαντας βίᾳ κατεστρέψατο.
resistance having-gone by-force he-subdued

αὐτὸς δὲ ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν 4.3
himself and as against the of-Malli both and of-Oxydracae land
σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ
with-haste sailed most both and most-warlike of-the there
Ἰνδῶν πυνθανόμενος καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας
Indians learning and that they-were-reported to-him children
μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι εἰς τὰς ὀχυρωτάτας τῶν
indeed and women to-have-been-deposited in the strongest of-the
πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς
cities themselves and to-have-decided through battle to-go against
αὐτόν. ἐφ᾽ ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν
him for which indeed also with-haste greater he-made the
πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ
voyage so-that not settled them but in the lacking
τε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένῳ προσφέρηται.
both still of-the preparation and confused he-might-attack
ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, πέμπτῃ ἡμέρᾳ ἀφίκετο ἐπὶ 4.4
thence and he-set-out the second-time on-the-fifth day he-arrived at
τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου. ἵνα δὲ
the confluence — both of-Hydaspes and — of-Acesines where and
ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενότατος εἷς ποταμὸς
join the rivers these narrowest one river
ἐκ τοῖν δυοῖν γίγνεται καὶ τὸ ῥεῦμα αὐτῷ ὀξὺ ἐπὶ
from the two becomes and the current for-it swift on-account-of
τῇ στενότητι καὶ δῖναι ἄτοποι ὑποστρέφοντος τοῦ ῥοῦ, καὶ
the narrowness and eddies strange turning-back the current and
τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα, ὡς καὶ
the water surges both and roars to great so-that even
πόρρω ἔτι ὄντων ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος.
far still being to-be-heard the noise of-the wave

4.5 καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα Ἀλεξάνδρῳ ἐκ
and had-been indeed reported-beforehand these-things to-Alexander from
τῶν ἐγχωρίων καὶ ἐξ Ἀλεξάνδρου τῇ στρατιᾷ· ὅμως
the natives and from Alexander to-the army nevertheless
δὲ ἐπειδὴ ἐπέλαζεν αὐτῷ ταῖς ξυμβολαῖς ὁ στρατός,
but when approached it the confluences the army
ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥστε
to so-great the from the current noise prevailed so-that
ἐπέστησαν τὰς εἰρεσίας οἱ ναῦται, οὐκ ἐκ παραγγέλματος,
stopped the rowing the sailors not from command
ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων
but the both boatswains from amazement having-fallen-silent
καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι.
and themselves in-suspense at the noise having-become

5.1 ὡς δὲ οὐ πόρρω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ
when and not far from-the confluences they-were there indeed
οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιοτάτῃ εἰρεσίᾳ
the helmsmen order so-that most-violent rowing
χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας
using to-drive-out from the narrows of-the not falling-in
τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ
the ships into the eddies to-be-overturned by them but
κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος.
to-master for with-the rowing the whirlings of-the water

5.2 τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν
the indeed indeed round boats as-many-as also happened of-them
περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ
turned-around by the current nothing at-all having-suffered in the
ἐπιστροφῇ ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας, κατέστη
whirling except — having-confused those sailing-in-them were-set
ἐς εὐθύ, πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ
into straight by itself the current having-been-righted the but long

νῆες οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῇ ἐπιστροφῇ,
ships not likewise unharmed came-off in the whirling
οὔτε μετέωροι ἐπὶ τοῦ ἐπικαχλάζοντος κύματος ὡσαύτως
neither raised on the plashing wave likewise
οὖσαι, ὅσαι τε δίκροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ
being as-many-as both two-banked of-them the lower oars not
ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος·
to far outside having of-the water
καὶ αἱ κῶπαι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γενομένοις 5.3
and the oars and for-them sideways in the eddies having-become
συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ
were-shattered of-as-many-as at-least were-caught by the
ὕδατος οὐ φθασάντων αὐτὰς μετεωρίσαι, ὡς πολλὰς
water not having-been-in-time them to-raise so-that many
μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ δὴ περιπεσούσας
indeed to-have-been-damaged of-the ships two and indeed having-fallen-foul-of
ἀλλήλαις αὐτάς τε διαφθαρῆναι καὶ τῶν ἐμπλεόντων
one-another themselves both to-have-been-destroyed and of-those sailing
ἐν αὐταῖς πολλούς. ὡς δὲ ἐς πλάτος ἤδη ὁ ποταμὸς
in them many when and to breadth already the river
διέσχεν, ἐνταῦθα δὴ ὅ τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς
widened there indeed the both current no-longer likewise difficult
ἦν καὶ αἱ δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ ἐπέστρεφον.
was and the eddies not with-like the force whirled
προσορμίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ Ἀλέξανδρος τὸν 5.4
having-moored then on-the at right bank Alexander the
στρατόν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσβολὴ ταῖς
army where shelter both was from-the current and landing for-the
ναυσὶν καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτηδείως ἀνεῖχεν
ships and some also headland of-the river conveniently projected
ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν καὶ εἴ τινες ἐπ᾽ αὐτῶν
for of-the wrecks both the collection and if any on them

ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε καὶ ἐπισκευάσας
alive still were-carried these both he-saved and having-repaired
τὰς πεπονηκυίας τῶν νεῶν Νέαρχον μὲν καταπλεῖν κελεύει
the damaged of-the ships Nearchus indeed to-sail-down he-orders
ἔστ' ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ Μαλλῶν ἔθνους, αὐτὸς
until — he-should-arrive at the borders of-the of-Malli people himself
δὲ τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν
and of-the barbarians the not coming-over raid
τῆς χώρας ποιησάμενος καὶ κωλύσας ἐπικουρῆσαι αὐτοὺς
of-the country having-made and having-prevented to-help them
τοῖς Μαλλοῖς, οὕτω δὴ αὖθις ξυνέμιξε τῷ ναυτικῷ.
the Malli so indeed again he-joined the fleet
5.5 καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῷ καὶ Κρατερὸς καὶ
and there Hephaestion both for-him and Craterus and
Φίλιππος ξὺν τοῖς ἀμφ' αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. ὁ δὲ τοὺς
Philip with the around them together already were he and the
μὲν ἐλέφαντας καὶ τὴν Πολυπέρχοντος τάξιν καὶ τοὺς
indeed elephants and the of-Polyperchon battalion and the
ἱπποτοξότας καὶ Φίλιππον ξὺν τῇ ἀμφ' αὐτὸν στρατιᾷ
mounted-archers and Philip with the around him army
διαβιβάσας τὸν Ὑδάσπην ποταμὸν Κρατερῷ ἄγειν
having-taken-across the Hydaspes river to-Craterus to-lead
προσέταξε· Νέαρχον δὲ ξὺν τῷ ναυτικῷ πέμπει τρισὶν
he-assigned Nearchus and with the fleet sends by-three
ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν κατὰ τὸν πλοῦν.
days the army having-ordered to-get-ahead along the voyage
5.6 τὸν δὲ ἄλλον στρατὸν τριχῇ διένειμε· καὶ Ἡφαιστίωνα
the and other army in-three he-divided and Hephaestion
μὲν πέντε ἡμέραις προϊέναι ἔταξεν, ὡς εἴ τινες τοὺς
indeed by-five days to-go-ahead he-ordered so-that if any the
ξὺν αὐτῷ τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ
with him posted fleeing to the forward in

σπουδὴν ἴοιεν, τοῖς ἀμφὶ Ἡφαιστίωνα ἐμπίπτοντες
haste should-go upon-the around Hephaestion falling
ἁλίσκωνται· Πτολεμαῖον δὲ τὸν Λάγου δοὺς καὶ
might-be-caught Ptolemy and the (son)-of-Lagus having-given also
τούτῳ τῆς στρατιᾶς μέρος τρισὶν ἡμέραις ὑπολειπόμενον
to-this-one of-the army a-part by-three days remaining-behind
ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τὸ ἔμπαλιν ὑποστρέφοιεν
to-follow ordered so-that as-many-as the back-again should-turn
αὐτὸν φεύγοντες, οὗτοι δὲ ἐς τοὺς ἀμφὶ τὸν Πτολεμαῖον
him fleeing these and into the around — Ptolemy
ἐμπίπτοιεν.
might-fall
ἐπὰν δὲ ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ 5.7
when and they-arrive at the confluences — both of-Acesines and
τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα δὴ τούς τε φθάνοντας
of-the Hydraotes river there indeed the both arriving-first
ὑπομένειν ἐκέλευσεν, ἔστ᾽ ἂν ἥκῃ αὐτός, καὶ τοὺς
to-wait he-ordered until — should-come himself and the
ἀμφὶ Κρατερὸν καὶ Πτολεμαῖον αὐτῷ ξυμβαλεῖν.
around Craterus and Ptolemy with-him to-join

To fall on the Malli unprepared, Alexander crosses a waterless stretch by night and surprises them outside their city; those who flee into the citadel are killed when it falls, and Perdiccas, pursuing the people of another town, cuts down all who do not reach the marshes. At the Hydraotes Alexander cuts down many at the ford, and Peithon takes a stronghold. The Brahmins' city is stormed and five thousand die. Finding the other Malli towns abandoned, Alexander sends Peithon and Demetrius to kill those hiding in the river woods. When the Malli line the far bank of the Hydraotes, Alexander charges across with his cavalry alone and holds fifty thousand at bay until his light troops arrive; they flee to their strongest city, and he surrounds it at nightfall.

6.1 αὐτὸς δὲ ἀναλαβὼν τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας
himself and having-taken the shield-bearers both and the archers
καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν πεζεταίρων καλουμένων τὴν
and the Agrianians and of-the foot-companions so-called the
Πείθωνος τάξιν καὶ τοὺς ἱπποτοξότας τε πάντας καὶ τῶν
of-Peithon battalion and the mounted-archers both all and of-the
ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας διὰ γῆς ἀνύδρου ὡς
cavalry the companion the half through land waterless as
ἐπὶ Μαλλοὺς ἦγεν, ἔθνος Ἰνδικὸν Ἰνδῶν τῶν αὐτονόμων.
against Malli he-led a-people Indian of-Indians the independent
6.2 καὶ τῇ μὲν πρώτῃ κατεστρατοπέδευσε πρὸς ὕδατι οὐ
and on-the indeed first he-encamped by water not
πολλῷ, ὃ δὴ ἀπεῖχε τοῦ Ἀκεσίνου ποταμοῦ σταδίους
much which indeed was-distant from-the Acesines river stades
ἐς ἑκατόν· δειπνοποιησάμενος δὲ καὶ ἀναπαύσας τὴν
about a-hundred having-dined and and having-rested the
στρατιὰν οὐ πολὺν χρόνον παραγγέλλει ὅ τι τις
army not much time he-orders what ever anyone
ἔχοι ἄγγος ἐμπλῆσαι ὕδατος. διελθὼν δὲ τῆς τε
might-have vessel to-fill with-water having-gone-through and of-the both

ἡμέρας τὸ ἔτι ὑπολειπόμενον καὶ τὴν νύκτα ὅλην ἐς
day the still remaining and the night whole about
τετρακοσίους μάλιστα σταδίους ἅμα ἡμέρᾳ πρὸς πόλιν
four-hundred about stades with day to a-city
ἀφίκετο, ἐς ἣν ξυμπεφεύγεσαν πολλοὶ τῶν Μαλλῶν.
he-arrived into which had-fled-together many of-the Malli
οἱ δὲ οὔποτ᾽ ἂν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν ἐπὶ 6.3
they and never — having-supposed through the waterless to-come against
σφᾶς Ἀλέξανδρον ἔξω τε τῆς πόλεως οἱ πολλοὶ καὶ ἄνοπλοι
them Alexander outside both the city the most and unarmed
ἦσαν. ἐφ᾽ ὅτῳ καὶ δῆλος ἐγένετο ταύτην ἀγαγὼν Ἀλέξανδρος,
were for which also plain he-became this having-led Alexander
ἣν ὅτι αὐτῷ ἀγαγεῖν χαλεπὸν ἦν, ἐπὶ τῷδε οὐδὲ τοῖς
which because for-him to-lead difficult was for this not-even to-the
πολεμίοις ὅτι ἄξει πιστὸν ἐφαίνετο. τούτοις μὲν δὴ
enemy that he-would-lead credible it-seemed upon-these indeed indeed
οὐ προσδοκήσασιν ἐπιπεσὼν τοὺς μὲν πολλοὺς ἀπέκτεινεν
not having-expected having-fallen the indeed most he-killed
αὐτῶν οὐδὲ ἐς ἀλκὴν οἷα δὴ ἀνόπλους τραπέντας· τῶν
of-them not-even to resistance as indeed unarmed having-turned of-the
δὲ ἄλλων εἰς τὴν πόλιν κατειληθέντων κύκλῳ περιστήσας
and others into the city having-been-penned in-a-circle having-set-around
τῷ τείχει τοὺς ἱππέας, ὅτι μήπω ἡ φάλαγξ τῶν πεζῶν
the wall the cavalry because not-yet the phalanx of-the infantry
ἠκολουθήκει αὐτῷ, ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ.
had-followed him instead-of palisade he-used the cavalry
ὡς δὲ τάχιστα οἱ πεζοὶ ἀφίκοντο, Περδίκκαν μὲν τήν τε 6.4
when and quickest the infantry arrived Perdiccas indeed the both
αὐτοῦ ἱππαρχίαν ἔχοντα καὶ τὴν Κλείτου καὶ τοὺς Ἀγριᾶνας
his-own hipparchy having and the of-Cleitus and the Agrianians
πρὸς ἄλλην πόλιν ἐκπέμπει τῶν Μαλλῶν, οἳ ξυμπεφευγότες
to another city he-sends-out of-the Malli where having-fled-together

ἦσαν πολλοὶ τῶν ταύτῃ Ἰνδῶν, φυλάσσειν τοὺς ἐν τῇ πόλει
were many of-the there Indians to-guard the in the city
κελεύσας, ἔργου δὲ μὴ ἔχεσθαι ἔστ' ἂν ἀφίκηται αὐτός, ὡς
having-ordered action and not to-engage until — should-arrive himself so-that
μηδὲ ἀπὸ ταύτης τῆς πόλεως διαφυγόντας τινὰς αὐτῶν
not-even from this the city having-escaped some of-them
ἀγγέλους γενέσθαι τοῖς ἄλλοις βαρβάροις ὅτι προσάγει
messengers to-become to-the other barbarians that approaches
ἤδη Ἀλέξανδρος· αὐτὸς δὲ προσέβαλλεν τῷ τείχει.
already Alexander himself and attacked the wall
6.5 οἱ δὲ βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ ἂν
the and barbarians the indeed wall abandon as not —
διαφυλάξαντες αὐτὸ ἔτι, πολλῶν ἐν τῇ καταλήψει
having-defended it any-longer many in the capture
τεθνηκότων, τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων
having-died the-others and also from wounds disabled
γεγενημένων· ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες χρόνον μέν
having-become into and the citadel having-fled-together time indeed
τινα ἠμύνοντο ἐξ ὑπερδεξίου τε χωρίου καὶ χαλεποῦ
some defended-themselves from commanding both ground and difficult
ἐς προσβολήν, προσκειμένων δὲ πάντοθεν εὐρώστως
for attack pressing and from-all-sides vigorously
τῶν Μακεδόνων καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ
the Macedonians and himself Alexander at-one-time elsewhere
ἐπιφαινομένου τῷ ἔργῳ ἥ τε ἄκρα κατὰ κράτος ἑάλω
appearing at-the action the both citadel by force was-taken
καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες ἀπέθανον· ἦσαν δὲ
and the having-fled-together into it all died were and
ἐς δισχιλίους.
about two-thousand

Περδίκκας δὲ ἐς τὴν πόλιν ἐφ᾽ ἥντινα ἐστάλη ἀφικόμενος 6.6
Perdiccas and to the city against which he-was-sent having-arrived
τὴν μὲν πόλιν ἐρήμην καταλαμβάνει, μαθὼν δὲ ὅτι οὐ
the indeed city deserted finds having-learned and that not
πρὸ πολλοῦ πεφεύγεσαν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες δρόμῳ
before much had-fled from it the inhabitants at-a-run
ἤλαυνε κατὰ στίβον τῶν φευγόντων· οἱ δὲ ψιλοὶ ὡς τάχους
marched along track of-the fleeing the and light-troops as of-speed
ποδῶν εἶχον αὐτῷ ἐφείποντο. καταλαβὼν δὲ τῶν φευγόντων
of-feet they-had him followed having-overtaken and of-the fleeing
κατέκοψεν ὅσοι γε μὴ ἔφθασαν ἐς τὰ ἕλη ξυμφυγόντες.
he-cut-down as-many-as at-least not got-ahead to the marshes having-fled-together
Ἀλέξανδρος δὲ δειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς 7.1
Alexander and having-dined both and having-rested the
ἀμφ᾽ αὑτὸν ἔστε ἐπὶ πρώτην φυλακὴν ἦει τοῦ πρόσω·
around himself until to first watch went to-the forward
καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν ἅμα
and the night having-gone-through long way at-the-same-time-with
ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. ἔνθα δὴ
day arrived at the Hydraotes river there indeed
τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη
of-the Malli the indeed most having-crossed already
ἔμαθεν, τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν
he-learned those and also crossing having-come-upon about itself
τὸν πόρον πολλοὺς αὐτῶν διέφθειρε.
the ford many of-them destroyed
καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον 7.2
and himself as he-was having-crossed-with by the same ford
διώκων εἴχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν.
pursuing kept-close-to those having-gotten-ahead in the retreat
καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας
and many indeed he-killed of-them the-others and also alive

ἔλαβεν, οἱ πλείους δὲ κατέφυγον ἔς τι χωρίον ὀχυρὸν
took the more and fled to some place strong
καὶ τετειχισμένον. Ἀλέξανδρος δέ, ὡς οἱ πεζοὶ ἀφίκοντο
and walled Alexander and when the infantry arrived
αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πείθωνα τήν τε αὑτοῦ
for-him sends against these Peithon the both his-own
τάξιν ἔχοντα καὶ τῶν ἱππέων δύο ἱπαρχίας.
battalion having and of-the cavalry two hipparchies

7.3 καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες λαμβάνουσι τὸ
and these indeed from attack having-assaulted take the
χωρίον καὶ τοὺς καταπεφευγότας ἐς αὐτὸ ἠνδραπόδισαν,
place and the having-fled into it enslaved
ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν. ταῦτα
as-many-as at-least not in the assault were-destroyed these-things
δὲ οἱ ἀμφὶ τὸν Πείθωνα διαπραξάμενοι ἐπανῆλθον αὖθις
and the around — Peithon having-accomplished returned again
ἐς τὸ στρατόπεδον.
to the camp

7.4 αὐτὸς δὲ Ἀλέξανδρος ὡς ἐπὶ τῶν Βραχμάνων τινὰ πόλιν
himself and Alexander as against of-the Brahmins a-certain city
ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπεφευγέναι τινὰς τῶν Μαλλῶν
led because also into this to-have-fled-together some of-the Malli
ἔμαθεν. ὡς δὲ ἀφίκετο πρὸς αὐτήν, ἐπῆγε τῷ τείχει
he-learned when and he-arrived at it he-led-on to-the wall
πάντοθεν πυκνὴν τὴν φάλαγγα. οἱ δὲ ὑπορυσσόμενα τὰ
from-all-sides dense the phalanx they and being-undermined the
τείχη ἰδόντες καὶ ἐκ τῶν βελῶν ἀναστελλόμενοι τὰ μὲν τείχη
walls having-seen and by the missiles being-driven-back the indeed walls
καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες ἐκεῖθεν
also these abandon into and the citadel having-fled-together from-there
ἠμύνοντο· ξυνεισπεσόντων δὲ αὐτοῖς ὀλίγων Μακεδόνων
defended-themselves having-burst-in-with and them few Macedonians

μεταβαλλόμενοι καὶ ξυστραφέντες τοὺς μὲν ἐξέωσαν αὐτῶν,
having-turned and having-rallied the-ones indeed thrust-out of-them
ἀπέκτειναν δὲ ἐν τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴκοσι.
they-killed and in the turning-back about five and twenty
καὶ ἐν τούτῳ Ἀλέξανδρος τάς τε κλίμακας πάντοθεν 7.5
and in this Alexander the both ladders from-all-sides
κελεύει προστιθέναι τῇ ἄκρᾳ καὶ ὑπορύττειν τὸ τεῖχος. ὡς
orders to-set-against the citadel and to-undermine the wall when
δὲ πύργος τε ἔπεσεν ὑπορυσσόμενος καὶ τοῦ μεταπυργίου
and a-tower both fell being-undermined and of-the curtain-wall
τι παραρραγὲν ἐπιμαχωτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν,
some having-broken-off more-assailable there made the citadel
πρῶτος Ἀλέξανδρος ἐπιβὰς τοῦ τείχους ὤφθη ἔχων
first Alexander having-mounted the wall was-seen holding
τὸ τεῖχος.
the wall
καὶ τοῦτον ἰδόντες οἱ ἄλλοι Μακεδόνες αἰσχυνθέντες 7.6
and this-one having-seen the other Macedonians having-been-ashamed
ἄλλος ἄλλῃ ἀνῄεσαν. εἵχετό τε ἤδη ἡ ἄκρα, καὶ τῶν
one another-way went-up was-held both already the citadel and of-the
Ἰνδῶν οἱ μὲν τὰς οἰκίας ἐνεπίμπρασαν καὶ ἐν αὐταῖς
Indians the-ones indeed the houses set-on-fire and in them
ἐγκαταλαμβανόμενοι ἀπέθνησκον, οἱ πολλοὶ δὲ μαχόμενοι
being-caught died the most and fighting
αὐτῶν. ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους,
of-them died and the all about five-thousand
ζῶντες δὲ δι' ἀνδρείαν ὀλίγοι ἐλήφθησαν.
alive and because-of courage few were-taken
μείνας δὲ αὐτοῦ μίαν ἡμέραν καὶ ἀναπαύσας τὴν 8.1
having-remained and there one day and having-rested the
στρατιὰν τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους
army on-the next-day advanced as against the other

Μαλλούς. καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει,
Malli and the indeed cities abandoned finds
αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον.
them and he-learned that having-fled they-were into the desert
8.2 καὶ ἐνταῦθα αὖθις μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιὰν
and there again one day having-rested the army
ἐς τὴν ἐπιοῦσαν Πείθωνα μὲν καὶ Δημήτριον τὸν
on the following Peithon indeed and Demetrius the
ἱππάρχην πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν, ὧν τε
hipparch to the river back he-sent-back whom both
αὐτοὶ ἡγοῦντο ἄγοντας καὶ πρὸς τούτοις ψιλῶν
they-themselves commanded leading and in-addition-to these of-light-troops
τάξεις δοὺς αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον.
battalions having-given to-them as-many-as sufficient for the task
8.3 προσέταξε δὲ παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ ἰόντας, εἴ τισι
he-ordered and along the bank of-the river going if any
περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευγότων, αἳ
they-should-come-upon of-the into the woods having-fled-together which
δὴ πολλαὶ πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους
indeed many by the bank of-the river were these
κτείνειν, ὅσοι μὴ ἐθελονταὶ σφᾶς ἐνδιδοῖεν. καὶ
to-kill as-many-as not voluntarily themselves should-surrender and
πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ Πείθωνά
many having-caught in the woods the around Peithon
τε καὶ Δημήτριον ἀπέκτειναν.
both and Demetrius killed
8.4 αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν Μαλλῶν πόλιν,
himself and led against the greatest of-the Malli city
ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι
where also from the other cities many to-have-fled-together
αὐτῷ ἐξηγγέλλετο. ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ Ἰνδοὶ
to-him it-was-reported but also this abandoned the Indians

ὡς προσάγοντα Ἀλέξανδρον ἔμαθον. διαβάντες δὲ τὸν
when approaching Alexander they-learned having-crossed and the
Ὑδραώτην ποταμὸν ἐπὶ τοῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ
Hydraotes river on the banks of-it because high
αἱ ὄχθαι ἦσαν, παρατεταγμένοι ἔμενον, ὡς εἴρξοντες
the banks were drawn-up remained so-as about-to-bar-from
τοῦ πόρου Ἀλέξανδρον.
the ford Alexander
καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ 8.5
and these-things when he-heard having-taken the cavalry the with him
πᾶσαν ᾔει ὡς ἐπὶ τὸν Ὑδραώτην, ἵναπερ παρατετάχθαι
all went as toward — Hydraotes where-indeed to-have-been-drawn-up
τοὺς Μαλλοὺς ἐξηγγέλλετο. οἱ δὲ πεζοὶ ἕπεσθαι αὐτῷ
the Malli it-was-reported the and infantry to-follow him
ἐτάχθησαν. ὡς δὲ ἀφίκετό τε ἐπ᾽ αὐτὸν καὶ ἐν τῷ
were-ordered when and he-arrived both at it and on the
πέραν τοὺς πολεμίους τεταγμένους κατεῖδεν, ὡς εἶχεν
opposite-side the enemy drawn-up saw as he-was
ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ.
from the road he-plunges into the ford with the cavalry alone
οἱ δὲ ἰδόντες ἐν μέσῳ τοῦ ποταμοῦ ὄντα ἤδη Ἀλέξανδρον 8.6
they and having-seen in middle of-the river being already Alexander
κατὰ σπουδὴν μέν, ξυντεταγμένοι δὲ ὅμως ἀπεχώρουν
in haste indeed drawn-up and nevertheless withdrew
ἀπὸ τῆς ὄχθης· καὶ Ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο.
from the bank and Alexander with alone the cavalry followed
ὡς δὲ κατεῖδον ἱππέας μόνους, ἐπιστρέψαντες οἱ Ἰνδοὶ
when and they-saw cavalry alone having-turned the Indians
καρτερῶς ἐμάχοντο πλῆθος ὄντες ἐς πέντε μυριάδας. καὶ
stoutly fought in-number being about five myriads and
Ἀλέξανδρος ὡς τήν τε φάλαγγα αὐτῶν πυκνὴν κατεῖδε
Alexander when the both phalanx of-them dense he-saw

καὶ αὐτῷ οἱ πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποιεῖτο ἐς
and for-him the infantry were-absent charges indeed he-made in
κύκλους παριππεύων, ἐς χεῖρας δὲ οὐκ ἤει τοῖς Ἰνδοῖς.
circles riding-along to hands and not he-came with-the Indians
8.7 καὶ ἐν τούτῳ παραγίγνονται αὐτῷ οἵ τε Ἀγριᾶνες καὶ
and in this arrive for-him the both Agrianians and
ἄλλαι τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα
other battalions of-the light-troops which indeed picked together-with
οἱ ἦγε, καὶ οἱ τοξόται· οὐ πόρρω δὲ οὐδὲ ἡ φάλαγξ
himself he-led and the archers not far and not-even the phalanx
ἐφαίνετο τῶν πεζῶν. καὶ οἱ Ἰνδοὶ ὁμοῦ σφισι πάντων τῶν
appeared of-the infantry and the Indians at-once on-them all the
δεινῶν προσκειμένων ἀποστρέψαντες ἤδη προτροπάδην
terrors pressing having-turned already headlong
ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίον.
fled to a-city strongest of-the neighboring
8.8 καὶ Ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς πολλοὺς ἔκτεινε καὶ ὡς
and Alexander following both them many killed and when
ἐς τὴν πόλιν οἱ διαφυγόντες κατειλήθησαν, πρῶτα μὲν τοῖς
into the city the having-escaped were-penned first indeed with-the
ἵπποις ἐξ ἐφόδου ἐκυκλώσατο τὴν πόλιν· ὡς δὲ οἱ πεζοὶ
cavalry from attack he-encircled the city when and the infantry
αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν
for-him were-present there indeed the day he-encamps-around in
κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τε τῆς ἡμέρας ὑπελείπετο
circle of-the wall because not much both of-the day remained
ἐς τὴν προσβολὴν καὶ ἡ στρατιὰ αὐτῷ ὑπό τε πορείας
for the assault and the army for-him from both march
μακρᾶς οἱ πεζοὶ καὶ ὑπὸ διώξεως συνεχοῦς οἱ ἵπποι καὶ οὐχ
long the infantry and from pursuit continuous the horses and not
ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν.
least at the ford of-the river had-been-exhausted

The Malli abandon their walls for the citadel. Impatient with the men carrying the ladders, Alexander climbs first, followed by Peucestas and Leonnatus and, up another ladder, Abreas; the ladders break behind them, and he leaps down inside alone, kills the Indian leader, and fights with his back to the wall. Abreas falls, and an arrow pierces Alexander's breastplate into his chest, so that, Ptolemy says, breath escapes with the blood, until he collapses under Peucestas' sacred shield. The Macedonians break in and kill everyone in the city. The arrow is cut out. Arrian corrects the common tales: the wound was among the Malli, not the Oxydracae, Gaugamela not Arbela was the battlefield, and Ptolemy was not there.

τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατὸν τοῦ μὲν 9.1
on-the and next-day in-two having-divided the army of-the indeed
ἑτέρου αὐτὸς ἡγούμενος προσέβαλλε τῷ τείχει, τὸ δὲ
one himself leading attacked the wall the and
ἕτερον Περδίκκας προσῆγε. καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ
other Perdiccas led-up and in this not having-withstood the
Ἰνδοὶ τῶν Μακεδόνων τὴν ὁρμὴν τὰ μὲν τείχη τῆς πόλεως
Indians of-the Macedonians the onset the indeed walls of-the city
λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφευγον. Ἀλέξανδρος
leave themselves and into the citadel fled-together Alexander
μὲν οὖν καὶ οἱ ἀμφ᾽ αὐτὸν πυλίδα τινὰ κατασχίσαντες
indeed then and the around him small-gate a-certain having-split-open
παρῆλθον ἐς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων·
went into the city much ahead-of the others
οἱ δὲ ὁμοῦ Περδίκκᾳ τεταγμένοι ὑστέρησαν 9.2
those and together-with Perdiccas posted were-late
ὑπερβαίνοντες κατὰ τὰ τείχη οὐκ εὐπετῶς, οὐδὲ τὰς
climbing over the walls not easily nor the
κλίμακας οἱ πολλοὶ αὐτῶν φέροντες, ὅτι ἑαλωκέναι
ladders the most of-them carrying because to-have-been-taken

αὐτοῖς ἐδόκει ἡ πόλις, ἐρημούμενα τῶν προμαχομένων τὰ
to-them seemed the city deserted of-the defenders the
τείχη ὡς κατεῖδον. ὡς δὲ ἡ ἄκρα ἐχομένη πρὸς τῶν
walls when they-saw when and the citadel held by the
πολεμίων καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι
enemy and before this drawn-up for the fighting-back
πολλοὶ ἐφάνησαν, ἐνταῦθα δὴ οἱ μὲν ὑπορύσσοντες
many appeared there indeed the-ones indeed undermining
τὸ τεῖχος, οἱ δὲ προσθέσει ὅπῃ παρείκοι τῶν
the wall the-others and by-setting-up wherever it-allowed of-the
κλιμάκων βιάσασθαι ἐπειρῶντο ἐς τὴν ἄκραν.
ladders to-force tried into the citadel

9.3 Ἀλέξανδρος δέ, ὡς βλακεύειν αὐτῷ ἐδόκουν τῶν Μακεδόνων
Alexander and when to-be-slack to-him seemed of-the Macedonians
οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν
those carrying the ladders having-snatched a-ladder of-one of-the
φερόντων προσέθηκε τῷ τείχει αὐτὸς καὶ εἰληθεὶς ὑπὸ
carrying set-against to-the wall himself and having-crouched under
τῇ ἀσπίδι ἀνέβαινεν· ἐπὶ δὲ αὐτῷ Πευκέστας ὁ τὴν
the shield went-up after and him Peucestas the the
ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς
sacred shield carrying which from the temple — of-Athena the
Ἰλιάδος λαβὼν ἅμα οἱ εἶχεν Ἀλέξανδρος καὶ πρὸ
Ilian having-taken together-with himself had Alexander and before
αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις· ἐπὶ δὲ τούτῳ Λεοννάτος
him was-carried in the battles after and this-one Leonnatus
ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ
went-up by the same ladder the bodyguard by and
ἄλλην κλίμακα Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων.
another ladder Abreas of-the double-pay-men one serving

ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν 9.4
already both at the battlement of-the wall the king was
καὶ ἐρείσας ἐπ᾽ αὐτῇ τὴν ἀσπίδα τοὺς μὲν ὤθει εἴσω
and having-rested on it the shield the-ones indeed he-pushed within
τοῦ τείχους τῶν Ἰνδῶν, τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει
the wall of-the Indians the-others and also there with-the sword
ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος· καὶ οἱ ὑπασπισταὶ
having-killed had-cleared the there wall and the shield-bearers
ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως σπουδῇ ὠθούμενοι
terrified having-become for the king in-haste pushing
κατὰ τὴν αὐτὴν κλίμακα συντρίβουσιν αὐτήν, ὥστε οἱ
by the same ladder shatter it so-that the-ones
μὲν ἤδη ἀνιόντες αὐτῶν κάτω ἔπεσον, τοῖς δὲ ἄλλοις
indeed already going-up of-them down fell for-the and others
ἄπορον ἐποίησαν τὴν ἄνοδον.
impassable they-made the ascent
Ἀλέξανδρος δὲ ὡς ἐπὶ τοῦ τείχους στὰς κύκλῳ τε 9.5
Alexander and as on the wall having-stood in-a-circle both
ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο, οὐ γὰρ πελάσαι
from the neighboring towers was-shot-at not for to-approach
γε ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν, καὶ ὑπὸ τῶν ἐκ
at-least dared anyone him of-the Indians and by those from
τῆς πόλεως, οὐδὲ πόρρω τούτων γε ἐσακοντιζόντων
the city not-even far these at-least hurling-javelins
ἔτυχε γάρ τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς
there-happened-to-be for something also heaped-up there against
τὸ τεῖχος, δῆλος μὲν ἦν Ἀλέξανδρος ὢν τῶν τε ὅπλων
the wall conspicuous indeed was Alexander being by-the both arms
τῇ λαμπρότητι καὶ τῷ ἀτόπῳ τῆς τόλμης, ἔγνω δὲ
the brilliance and by-the strangeness of-the daring be-perceived and
ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει μηδὲν ὅ τι καὶ λόγου
that there indeed remaining he-will-run-risk nothing what ever even of-account

ἄξιον ἀποδεικνύμενος, καταπηδήσας δὲ εἴσω τοῦ τείχους
worthy displaying having-leapt-down and within the wall
τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς Ἰνδούς, εἰ δὲ μή,
perhaps indeed by-it this he-will-terrify the Indians if and not
καὶ κινδυνεύειν δέοι, μεγάλα ἔργα καὶ τοῖς ἔπειτα
even to-run-risk it-should-be-necessary great deeds and for-those hereafter
πυθέσθαι ἄξια ἐργασάμενος οὐκ ἀσπουδεὶ ἀποθανεῖται —
to-learn worthy having-performed not ingloriously he-will-die
ταῦτα γνοὺς καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν.
these-things having-decided leaps-down from the wall into the citadel
9.6 ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει τοὺς μέν τινας
there indeed having-set-his-back against the wall the-ones indeed some
ἐς χεῖρας ἐλθόντας καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν
to hands having-come and the at-least leader of-the Indians
προσφερόμενόν οἱ θρασύτερον παίσας τῷ ξίφει
rushing-at him too-boldly having-struck with-the sword
ἀποκτείνει· ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε
kills another and approaching with-a-stone having-hit he-checked
καὶ ἄλλον λίθῳ, τὸν δὲ ἐγγυτέρω προσάγοντα τῷ
and another with-a-stone the and nearer advancing with-the
ξίφει αὖθις. οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι
sword again the and barbarians to-approach indeed him no-longer
ἤθελον, ἔβαλλον δὲ πάντοθεν περιεστηκότες ὅ τι τις
were-willing they-shot and from-all-sides standing-around what ever anyone
ἔχων βέλος ἐτύγχανεν ἢ ἐν τῷ τότε ἔλαβεν.
having missile happened-to-have or in the then-(time) took
10.1 ἐν τούτῳ δὲ Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας
in this and Peucestas both and the double-pay-man Abreas
καὶ ἐπ᾽ αὐτοῖς Λεοννάτος, οἳ δὴ μόνοι ἔτυχον πρὶν
and after them Leonnatus who indeed alone happened before
ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος,
to-be-shattered the ladders having-gone-up onto the wall

καταπηδήσαντες καὶ αὐτοὶ πρὸ τοῦ βασιλέως ἐμάχοντο.
having-leapt-down also themselves before the king fought
καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ τοξευθεὶς
and Abreas indeed the double-pay-man falls there shot
ἐς τὸ πρόσωπον, Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς
into the face Alexander and is-struck also himself
διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν
through the breastplate into the chest by-an-arrow above the
μαστόν, ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ
breast so-that says Ptolemy that also breath together-with
τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο.
the blood from the wound was-breathed-out
ὁ δέ, ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ 10.2
he and as-long-as indeed still warm was for-him the blood although
κακῶς ἔχων ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ
badly faring defended-himself much and indeed of-the blood and
ἀθρόου οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε
in-a-mass as indeed with breath having-flowed-out dizziness both
αὐτὸν καὶ λειποψυχία κατέσχε καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν
him and fainting seized and falls there upon the
ἀσπίδα ξυννεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότι
shield having-bent-over Peucestas and having-stood-over the-fallen
καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα πρὸ
and having-held-over the sacred the from Ilium shield before
αὐτοῦ, καὶ Λεοννάτος ἐς τὰ ἐπὶ θάτερα, οὗτοί τε
him and Leonnatus on the-parts on the-other-side these both
βάλλονται ἀμφότεροι καὶ Ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ
are-struck both and Alexander near was already from
τοῦ αἵματος ἐκλιπεῖν.
the blood to-faint

10.3 τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένητο τὰ
for-the for Macedonians also here in perplexity had-become the-things
τῆς προσβολῆς, ὅτι οἱ τὸν Ἀλέξανδρον βαλλόμενόν τε
of-the assault because those — Alexander being-shot both
ἐπὶ τῷ τείχει ἰδόντες καὶ πηδῶντα ἔσω ἐς τὴν ἄκραν,
on the wall having-seen and leaping inside into the citadel
ὑπὸ σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασιλεὺς
from haste both and fear lest something to-them the king
πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων, τὰς κλίμακας ξυντετριφότες
might-suffer not with reason running-risk the ladders having-shattered
ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος ὡς ἐν
others other devices for the to-go-up onto the wall as in
ἀπόροις ἐμηχανῶντο, οἱ μὲν πασσάλους ἐμπηγνύοντες
straits contrived the-ones indeed pegs fixing
ἐς τὸ τεῖχος γήϊνον ὄν, καὶ κατὰ τούτους ἐκκρεμαννύμενοι
into the wall earthen being and by these hanging-on
χαλεπῶς ἀνεῖρπον, οἱ δὲ ἄλλοι ἐπ᾽ ἄλλους ἐπιβαίνοντες.
with-difficulty crept-up the-others and one upon another mounting

10.4 ὁ δὲ πρῶτος ἀνελθὼν ἐνρίπτει αὑτὸν κατὰ τοῦ τείχους
the and first having-gone-up throws himself down from-the wall
ἐς τὴν πόλιν, ἵναπερ τὸν βασιλέα ἑώρων κείμενον,
into the city where-indeed the king they-saw lying
ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες. ἤδη τε ἀμφ᾽ αὐτῷ
with lamentation and war-cry all already both around him
πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει ἄλλου ἐπ᾽ ἄλλῳ
fallen a-fierce battle had-arisen one over another
τῶν Μακεδόνων προασπίζοντος, καὶ ἐν τούτῳ οἱ μὲν
of-the Macedonians holding-his-shield-before and in this the-ones indeed
τὸν μοχλὸν ὅτῳ εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη
the bar by-which was-held the at the curtain-wall gate
κατασχίσαντες ἐπ᾽ ὀλίγους παρῆεσαν, οἱ δὲ καθ᾽ ὅ
having-split-open in few-at-a-time came-in the-others and at what

τι ἡ πύλη διέσχε τοὺς ὤμους ὑποθέντες καὶ ὦσαντες
ever the gate parted the shoulders having-put-under and having-pushed
ἐς τὸ ἔσω τὸ τεῖχος ἀνεπέτασαν ταύτῃ τὴν ἄκραν.
into the inside the wall opened-up there the citadel
ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδούς, καὶ ἀπέκτειναν 11.1
in this and the-ones indeed were-killing the Indians and they-killed
γε πάντας οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο, οἱ δὲ
at-least all not-even woman or child they-left the-others and
ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀσπίδος κακῶς ἔχοντα, οὔπω
carried-out the king on the shield badly faring not-yet
γιγνώσκοντες βιώσιμον ὄντα. τὸ δὲ βέλος ἐξελκύσαι
knowing likely-to-live being the and missile to-have-drawn-out
ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πληγὴν οἱ μὲν
from the wound having-cut-open the wound the-ones indeed
Κριτόδημον ἀνέγραψαν, ἰατρὸν Κῶον, τὸ γένος τῶν
Critodemus recorded a-physician Coan by race of-the
Ἀσκληπιαδῶν, οἱ δὲ Περδίκκαν τὸν σωματοφύλακα, οὐ
Asclepiads the-others and Perdiccas the bodyguard not
παρόντος ἐν τῷ δεινῷ ἰατροῦ, ἐγκελευσαμένου Ἀλεξάνδρου
being-present in the danger a-physician having-urged Alexander
τῷ ξίφει ἐπιτεμεῖν τὴν πληγὴν καὶ κομίσασθαι τὸ βέλος.
with-the sword to-cut-open the wound and to-take-out the missile
ἐν δὲ τῇ κομιδῇ φορὰ αἵματος πολλοῦ γίγνεται, ὥστε 11.2
in and the extraction a-flow of-blood much happens so-that
λειποψυχῆσαι αὖθις Ἀλέξανδρον καὶ οὕτω σχεθῆναι αὐτῷ τὸ
to-faint again Alexander and so to-be-stopped for-him the
αἷμα ὑπὸ τῇ λειποψυχίᾳ. πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται
blood by the fainting many and also other-things have-been-recorded
τοῖς ξυγγραφεῦσιν ὑπὲρ τοῦ παθήματος, καὶ ἡ φήμη
by-the historians about the suffering and the rumor
παραδεξαμένη αὐτὰ κατὰ τοὺς πρώτους ψευσαμένους ἔτι
having-received them from the first liars still

καὶ εἰς ἡμᾶς διασώζει, οὐδὲ ἀφήσει παραδιδοῦσα καὶ ἐφεξῆς
even to us preserves nor will-cease handing-on also in-turn
ἄλλοις τὰ ψευδῆ, εἰ μὴ ὑπὸ τῆσδε τῆς ξυγγραφῆς παύσεται.
to-others the falsehoods if not by this the history it-will-be-stopped
11.3 αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι
for-instance among Oxydracae the suffering this to-have-happened
Ἀλεξάνδρῳ ὁ πᾶς λόγος κατέχει· τὸ δὲ ἐν Μαλλοῖς
to-Alexander the whole tradition holds it and among Malli
ἔθνει αὐτονόμῳ Ἰνδικῷ ξυνέβη, καὶ ἥ τε πόλις Μαλλῶν
a-people independent Indian happened and the both city of-Malli
ἦν καὶ οἱ βαλόντες Ἀλέξανδρον Μαλλοί, οἳ δὴ
was and those having-shot Alexander Malli who indeed
ἐγνώκεσαν μὲν ξυμμίξαντες τοῖς Ὀξυδράκαις οὕτω
had-resolved indeed having-joined with-the Oxydracae so
διαγωνίζεσθαι, ἔφθη δὲ διὰ τῆς ἀνύδρου ἐπ᾽
to-fight-it-out he-got-ahead and through the waterless against
αὐτοὺς ἐλάσας πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν
them having-marched before any help to-them from the
Ὀξυδρακῶν γενέσθαι ἢ αὐτοὺς ἐκείνοις τι ἐπωφελῆσαι.
Oxydracae to-come or themselves to-those anything to-help
11.4 ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς Δαρεῖον γενομένην,
since also the last battle the against Darius having-happened
καθ᾽ ἥντινα ἔφυγε Δαρεῖος οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς
in which fled Darius nor before ceased from-the flight
πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ Βῆσσον καὶ προσάγοντος
before to-be-seized by those around Bessus and approaching
ἤδη Ἀλεξάνδρου ἀποθανεῖν, πρὸς Ἀρβήλοις γενέσθαι
already Alexander to-die at Arbela to-have-happened
ὁ πᾶς λόγος κατέχει, καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης
the whole tradition holds just-as then also the before this
ἐν Ἰσσῷ καὶ τὴν πρώτην ἱππομαχίαν πρὸς Γρανίκῳ.
at Issus and the first cavalry-battle at Granicus

ἀλλὰ πρὸς Γρανίκῳ μὲν ξυνέβη ἡ μάχη ἡ ἱππικὴ 11.5
but at Granicus indeed happened the battle the cavalry
καὶ πρὸς Ἰσσῷ ἡ αὖθις πρὸς Δαρεῖον μάχη, Ἄρβηλα
and at Issus the again against Darius battle Arbela
δὲ τοῦ χώρου, ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός
and from-the place in which the last battle Darius
τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα
both and Alexander fought those indeed the most
ξυγγράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει,
having-written say that six-hundred stades it-is-distant
neither am-able exactly to-infer nor is-it-my-concern I-at-least
εἰκάζειν, ἐκεῖνο δὲ καὶ αὐτὸς ἄν μοι δοκῶ ἰσχυρίσασθαι,
to-guess that and also myself — to-me I-seem to-assert
οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν Ἀλέξανδρον
neither small anything and trivial to-intend Alexander
οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ᾽ οὐδενὶ τῶν ἤδη
nor to-have-remained — staying-quiet on anything of-the already
κεκτημένων, οὐδὲ εἰ τὴν Εὐρώπην τῇ Ἀσίᾳ προσέθηκεν,
acquired not-even if — Europe — to-Asia he-had-added
οὐδ᾽ εἰ τὰς Βρεττανῶν νήσους τῇ Εὐρώπῃ, ἀλλὰ ἔτι
nor if the of-Britons islands — to-Europe but still

ἂν ἐπέκεινα ζητεῖν τι τῶν ἠγνοημένων, εἰ καὶ μὴ
— beyond to-seek something of-the unknown if even not
ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὑτῷ ἐρίζοντα.
with-another anyone but himself at-least with-himself vying
καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν, ὧν 1.5
and for this I-praise the sages of-the Indians of-whom
λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ᾽ Ἀλεξάνδρου
they-say there-are whom having-been-caught by Alexander
ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατριβαὶ ἦσαν,
in-the-open in a-meadow where-indeed for-them discourses were
ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ
other indeed nothing to-have-done at the sight of-him both and
τῆς στρατιᾶς, κρούειν δὲ τοῖς ποσὶ τὴν γῆν ἐφ᾽ ἧς
of-the army to-strike but with-the feet the ground on which
βεβηκότες ἦσαν. ὡς δὲ ἤρετο Ἀλέξανδρος δι᾽ ἑρμηνέων
having-stepped they-were when and asked Alexander through interpreters
ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον, τοὺς δὲ ὑποκρίνασθαι ὧδε·
what ever might-mean for-them the action they and to-have-answered thus
βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς 1.6
king Alexander man indeed each so-much of-the
γῆς κατέχει ὅσονπερ τοῦτό ἐστιν ἐφ᾽ ὅτῳ βεβήκαμεν·
earth holds as-much-as-very this is on which we-have-stepped
σὺ δὲ ἄνθρωπος ὢν παραπλήσιος τοῖς ἄλλοις, πλήν γε
you and man being like to-the others except at-least
δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος, ἀπὸ τῆς οἰκείας
indeed that busy and reckless from the (your)-own
τοσαύτην γῆν ἐπεξέρχῃ πράγματα ἔχων τε καὶ παρέχων
so-much earth you-traverse troubles having both and giving
ἄλλοις. καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανὼν τοσοῦτον
to-others and then also a-little later having-died so-much
καθέξεις τῆς γῆς ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι.
you-will-hold of-the earth as-much-as suffices to-be-buried for-the body

2.1 κἀνταῦθα ἐπῄνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους
and-there praised indeed Alexander the both words
αὐτοὺς καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα
themselves and those having-spoken did but nevertheless other-things
καὶ τἀναντία οἷς ἐπῄνεσεν. ἐπεὶ καὶ Διογένην τὸν
and the-opposite to-what he-praised since also Diogenes the
ἐκ Σινώπης θαυμάσαι λέγεται, ἐν Ἰσθμῷ ἐντυχὼν
from Sinope to-have-admired is-said at Isthmus having-met
τῷ Διογένει κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς σὺν τοῖς
— Diogenes lying in sun having-stood-over with the
ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις καὶ ἐρόμενος εἴ του
shield-bearers and the foot-companions and having-asked if anything
δέοιτο· ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός, ἀπὸ
he-needed he and Diogenes other indeed he-said to-need nothing from
τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν
the sun but to-go-away he-bade him both and those with
αὐτῷ. οὕτω τοι οὐ πάντῃ ἔξω τοῦ ἐπινοεῖν τὰ κρείττω
him so surely not wholly outside of-the to-conceive the better-things
ἦν Ἀλέξανδρος, ἀλλ' ἐκ δόξης γὰρ δεινῶς ἐκρατεῖτο.
was Alexander but by glory for terribly he-was-mastered

2.2 ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῷ ἀφικομένῳ καὶ ἰδόντι τῶν
since also to Taxila for-him having-arrived and having-seen of-the
σοφιστῶν τῶν Ἰνδῶν τοὺς γυμνοὺς πόθος ἐγένετο ξυνεῖναί
sages of-the Indians the naked longing came to-be-with
τινα οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν αὐτῶν
one to-him of-the men these because the endurance of-them
ἐθαύμασε· καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφιστῶν, ὅτου
he-admired and the indeed oldest of-the sages whose
ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς
disciples the others were Dandamis by-name neither himself
ἔφη παρ' Ἀλέξανδρον ἥξειν οὔτε τοὺς ἄλλους εἴα,
he-said to Alexander would-come nor the others allowed

ἀλλὰ ὑποκρίνασθαι γὰρ λέγεται ὡς Διὸς υἱὸς καὶ αὐτὸς 2.3
but to-have-answered for is-said that of-Zeus son also himself
εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος, καὶ ὅτι οὔτε δέοιτό του
was if-indeed then also Alexander and that neither he-needed anything
τῶν παρ᾽ Ἀλεξάνδρου, ἔχειν γάρ οἱ εὖ τὰ παρόντα, καὶ
of-the from Alexander to-have for to-him well the present-things and
ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους τοσαύτην
at-the-same-time to-see those with him wandering so-much
γῆν καὶ θάλασσαν ἐπ᾽ ἀγαθῷ οὐδενί, μηδὲ πέρας τι
land and sea for good no and-not end any
αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν. οὔτ᾽ οὖν ποθεῖν
to-them coming-about of-the many wanderings neither then to-long-for
τι αὐτὸς ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτε
anything himself of-which master was Alexander to-give nor
αὖ δεδιέναι, ὅτου κρατοίη ἐκεῖνος, ἔστιν οὗ εἴργεσθαι·
again to-fear of-what might-rule that-one there-is where to-be-excluded
ζῶντι μὲν γάρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν 2.4
for-living indeed for for-him the of-Indians land to-suffice
φέρουσαν τὰ ὡραῖα, ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι
bearing the seasonal-fruits having-died and to-be-going-to-be-freed
οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. οὔκουν οὐδὲ
not suitable housemate of-the body not-therefore even
Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι γνόντα ἐλεύθερον
Alexander to-have-tried to-compel having-recognized free
ὄντα τὸν ἄνδρα, ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν
being the man but Calanus for to-have-been-persuaded of-the
ταύτῃ σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα
there sages whom most indeed of-himself unrestrained
Μεγασθένης ἀνέγραψεν αὐτοὺς τοὺς σοφιστὰς λέγειν
Megasthenes recorded themselves the sages to-say

κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν τὴν παρὰ σφίσιν
reviling — Calanus because having-left the among them
εὐδαιμονίαν ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν θεὸν ἐθεράπευε.
happiness he and master other than the god served

3.1 ταῦτα ἐγὼ ἀνέγραψα, ὅτι καὶ ὑπὲρ Καλάνου ἐχρῆν
these-things I recorded because also about Calanus it-was-necessary
εἰπεῖν ἐν τῇ περὶ Ἀλεξάνδρου συγγραφῇ· μαλακισθῆναι γάρ
to-tell in the about Alexander history to-have-weakened for
τι τῷ σώματι τὸν Κάλανον ἐν τῇ Περσίδι γῇ, οὔπω
somewhat in-the body — Calanus in the Persian land not-yet
πρόσθεν νοσήσαντα· οὔκουν οὐδὲ δίαιταν διαιτᾶσθαι θέλειν
before having-been-ill not-therefore even regimen to-follow to-wish
ἀρρώστου ἀνδρός, ἀλλὰ εἰπεῖν γὰρ πρὸς Ἀλέξανδρον,
of-an-invalid man but to-have-said for to Alexander
καλῶς αὐτῷ ἔχειν ἐν τῷ τοιῷδε καταστρέψαι, πρίν τινος
well for-him to-be in the such to-end before some
ἐς πεῖραν ἐλθεῖν παθήματος ὅ τι περ ἐξαναγκάσει
to trial to-come suffering what ever indeed will-force
αὐτὸν μεταβάλλειν τὴν πρόσθεν δίαιταν.
him to-change the former regimen

3.2 καὶ Ἀλέξανδρον ἀντειπεῖν μὲν αὐτῷ ἐπὶ πολύ· ὡς δ'
and Alexander to-have-argued-against indeed him for long when but
οὐχ ἡττησόμενον ἑώρα, ἀλλὰ ἄλλως ἂν ἀπαλλαγέντα, εἰ μή
not about-to-be-overcome he-saw but otherwise — having-departed if not
τις ταύτῃ ὑπεικάθοι, οὕτω δὴ ὅπῃ ἐπήγγελλεν αὐτός,
anyone in-this-way should-yield so indeed in-what-way directed himself
κελεῦσαι νησθῆναι αὐτῷ πυράν, καὶ ταύτης ἐπιμεληθῆναι
to-have-ordered to-be-heaped-up for-him a-pyre and of-this to-have-taken-charge
Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα. οἱ δὲ καὶ
Ptolemy the (son)-of-Lagus the bodyguard some and also
πομπήν τινα προπομπεῦσαι αὐτοῦ λέγουσιν ἵππους τε
procession some to-have-led-before him say horses both

καὶ ἄνδρας, τοὺς μὲν ὡπλισμένους, τοὺς δὲ θυμιάματα
and men the-ones indeed armed the-others and incenses
παντοῖα τῇ πυρᾷ ἐπιφέροντας· οἱ δὲ καὶ ἐκπώματα
of-all-kinds to-the pyre bringing-on the-others and also cups
χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἐσθῆτα βασιλικὴν λέγουσιν ὅτι ἔφερον.
golden and silver and clothing royal say that they-carried
αὐτῷ δὲ παρασκευασθῆναι μὲν ἵππον, ὅτι βαδίσαι 3.3
for-him and to-have-been-prepared indeed a-horse because to-walk
ἀδυνάτως εἶχεν ὑπὸ τῆς νόσου· οὐ μὴν δυνηθῆναί
unable he-was from the illness not however to-have-been-able
γε οὐδὲ τοῦ ἵππου ἐπιβῆναι, ἀλλὰ ἐπὶ κλίνης γὰρ
at-least not-even the horse to-mount but on a-litter for
κομισθῆναι φερόμενον, ἐστεφανωμένον τε τῷ Ἰνδῶν
to-have-been-conveyed being-carried garlanded both in-the of-Indians
νόμῳ καὶ ᾄδοντα τῇ Ἰνδῶν γλώσσῃ. οἱ δὲ Ἰνδοὶ
custom and singing in-the of-Indians tongue the and Indians
λέγουσιν ὅτι ὕμνοι θεῶν ἦσαν καὶ αὐτῶν ἔπαινοι.
say that hymns to-gods were and of-them praises
καὶ τὸν μὲν ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι ἔμελλε, 3.4
and the indeed horse this which to-mount he-was-about
βασιλικὸν ὄντα τῶν Νησαίων, πρὶν ἀναβῆναι ἐπὶ τὴν
royal being of-the Nesaean before to-go-up onto the
πυρὰν Λυσιμάχῳ χαρίσασθαι, τῶν τινι θεραπευόντων
pyre to-Lysimachus to-have-given of-those some attending
αὐτὸν ἐπὶ σοφίᾳ· τῶν δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων
him for wisdom of-the and indeed cups or rugs
ὅσα ἐμβληθῆναι εἰς τὴν πυρὰν κόσμον αὐτῷ τετάχει
as-many-as to-be-thrown into the pyre as-adornment for-him had-ordered
Ἀλέξανδρος, ἄλλα ἄλλοις δοῦναι τῶν ἀμφ' αὑτόν.
Alexander others to-others to-have-given of-those around himself

3.5 οὕτω δὴ ἐπιβάντα τῇ πυρᾷ κατακλιθῆναι μὲν ἐν κόσμῳ,
so indeed having-mounted the pyre to-have-lain-down indeed in order
ὁρᾶσθαι δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης. Ἀλεξάνδρῳ
to-be-seen and by the army whole to-Alexander
δὲ οὐκ ἐπιεικὲς φανῆναι τὸ θέαμα ἐπὶ φίλῳ ἀνδρὶ
and not fitting to-have-appeared the sight for friend man
γιγνόμενον· ἀλλὰ τοῖς γὰρ ἄλλοις θαῦμα παρασχέσθαι
happening but to-the for others wonder to-have-provided
οὐδέν τι παρακινήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος.
not at-all having-moved in the fire of-the body
3.6 ὡς δὲ τὸ πῦρ ἐς τὴν πυρὰν ἐνέβαλον οἷς
when and the fire into the pyre they-threw to-whom
προστεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγξασθαι λέγει
ordered it-was the both trumpets to-have-sounded says
Νέαρχος, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον, καὶ
Nearchus so by Alexander ordered and
τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν ὁποῖόν τι καὶ
the army to-have-raised-the-war-cry all of-what-sort some also
ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαζε, καὶ τοὺς ἐλέφαντας
into the battles going it-raised-the-war-cry and the elephants
συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τιμῶντας Κάλανον.
to-have-trumpeted-with the shrill and warlike honoring Calanus
ταῦτα καὶ τοιαῦτα ὑπὲρ Καλάνου τοῦ Ἰνδοῦ ἱκανοὶ
these-things and such-things about Calanus the Indian sufficient-writers
ἀναγεγράφασιν, οὐκ ἀχρεῖα πάντα ἐς ἀνθρώπους, ὅτῳ
have-recorded not useless all for men to-whom
γνῶναι ἐπιμελές, ὡς καρτερόν τέ ἐστι καὶ ἀνίκητον
to-know is-a-care how strong both is and unconquerable
γνώμη ἀνθρωπίνη ὅ τι περ ἐθέλοι ἐξεργάσασθαι.
mind human what ever indeed it-might-wish to-accomplish

At Susa Alexander executes Abulites and his son for misgovernment; many satraps had misruled, expecting him never to return from India, and he grows quicker to punish. He marries Darius' eldest daughter and, says Aristobulus, a daughter of Ochus, and gives Persian and Median noblewomen to some eighty companions in Persian rites; more than ten thousand other Macedonians with Asian wives receive gifts. He pays the soldiers' debts at open tables without taking their names and crowns the bravest. Thirty thousand youths trained as Macedonians arrive, and Asian horsemen are enrolled in the companion cavalry, which, with Peucestas' Persian ways, grieves the Macedonians.

ἐν τούτῳ δὲ Ἀλέξανδρος Ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ 4.1
in this and Alexander Atropates indeed to the his-own
σατραπείαν ἐκπέμπει παρελθὼν ἐς Σοῦσα, Ἀβουλίτην δὲ
satrapy sends-out having-gone-on to Susa Abulites and
καὶ τὸν τούτου παῖδα Ὀξάθρην, ὅτι κακῶς ἐπεμελεῖτο
and the his son Oxathres because badly he-took-care-of
τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινε.
of-the Susians having-seized killed
πολλὰ μὲν δὴ ἐπεπλημμέλητο ἐκ τῶν κατεχόντων 4.2
many-things indeed indeed had-been-done-amiss by those holding
τὰς χώρας ὅσαι δορίκτητοι πρὸς Ἀλεξάνδρου ἐγένοντο
the countries as-many-as spear-won by Alexander had-become
ἔς τε τὰ ἱερὰ καὶ τάφους καὶ αὐτοὺς τοὺς ὑπηκόους,
against both the temples and tombs and themselves the subjects
ὅτι χρόνιος ὁ εἰς Ἰνδοὺς στόλος ἐγεγένητο τῷ βασιλεῖ
because long the into Indians expedition had-become for-the king
καὶ οὐ πιστὸν ἐφαίνετο ἀπονοστήσειν αὐτὸν ἐκ τοσῶνδε
and not credible it-seemed to-be-going-to-return him from so-many

ἐθνῶν καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τὸν Ἰνδόν τε καὶ
peoples and so-many elephants beyond — Indus both and
Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ Ὕφασιν φθειρόμενον.
Hydaspes and — Acesines and Hyphasis perishing

4.3 καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι ἔτι
and the in Gadrosians and for-him disasters having-befallen still
μᾶλλον ἐπῆραν τοὺς ταύτῃ σατραπεύοντας καταφρονῆσαι
more encouraged those there being-satraps to-despise
αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς
his of-the homeward return not however but also himself
Ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε ἐς
Alexander sharper is-said to-have-become in the then-(time) for
τὸ πιστεῦσαί τε τοῖς ἐπικαλουμένοις ὡς πιθανοῖς δὴ
the to-believe both the things-charged as credible indeed
ἐν παντὶ οὖσι, καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως τοὺς
in everything being and for the to-punish greatly those
καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ τὰ μεγάλα ἂν
even on small-matters convicted because also the great-things —
ἐδόκουν αὐτῷ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι.
they-seemed to-him in-the same spirit to-accomplish

4.4 ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις αὑτοῦ τε καὶ
he and also weddings held in Susa of-his-own both and
τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τὴν
of-the companions himself indeed of-the of-Darius daughters the
πρεσβυτάτην Βαρσίνην ἠγάγετο, ὡς δὲ λέγει Ἀριστόβουλος,
eldest Barsine married as and says Aristobulus
καὶ ἄλλην πρὸς ταύτῃ, τῶν Ὤχου θυγατέρων τὴν
also another besides this of-the of-Ochus daughters the
νεωτάτην Παρύσατιν. ἤδη δὲ ἦν αὐτῷ ἠγμένη καὶ ἡ
youngest Parysatis already and was by-him married also the
Ὀξυάρτου τοῦ Βακτρίου παῖς Ῥωξάνη.
of-Oxyartes the Bactrian daughter Roxane

Δρύπετιν δὲ Ἡφαιστίωνι δίδωσι, Δαρείου παῖδα καὶ 4.5
Drypetis and to-Hephaestion he-gives of-Darius daughter also
ταύτην, ἀδελφὴν τῆς αὐτοῦ γυναικός· ἐθέλειν γάρ οἱ
this-one sister of-the his-own wife to-wish for him
ἀνεψιοὺς τῶν παίδων γενέσθαι τοὺς Ἡφαιστίωνος παῖδας·
cousins of-the children to-become the of-Hephaestion children
Κρατερῷ δὲ Ἀμαστρίνην τὴν Ὀξυάτρου τοῦ Δαρείου
to-Craterus and Amastrine the of-Oxyatres of-the of-Darius
ἀδελφοῦ παῖδα· Περδίκκᾳ δὲ τὴν Ἀτροπάτου τοῦ Μηδίας
brother daughter to-Perdiccas and the of-Atropates of-the of-Media
σατράπου παῖδα ἔδωκεν·
satrap daughter he-gave
Πτολεμαίῳ δὲ τῷ σωματοφύλακι καὶ Εὐμενεῖ τῷ γραμματεῖ 4.6
to-Ptolemy and the bodyguard and to-Eumenes the secretary
τῷ βασιλικῷ τὰς Ἀρταβάζου παῖδας τῷ μὲν Ἀρτακάμαν,
the royal the of-Artabazus daughters to-the-one indeed Artacama
τῷ δὲ Ἄρτωνιν· Νεάρχῳ δὲ τὴν Βαρσίνης τε
to-the-other and Artonis to-Nearchus and the of-Barsine both
καὶ Μέντορος παῖδα· Σελεύκῳ δὲ τὴν Σπιταμένους τοῦ
and of-Mentor daughter to-Seleucus and the of-Spitamenes the
Βακτρίου παῖδα· ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις
Bactrian daughter likewise and also to-the other companions
τὰς δοκιμωτάτας Περσῶν τε καὶ Μήδων παῖδας ἐς
the most-distinguished of-Persians both and of-Medes daughters about
ὀγδοήκοντα. οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ Περσικῷ·
eighty the weddings and were-held in-custom the Persian
θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφεξῆς καὶ μετὰ τὸν 4.7
chairs were-set for-the bridegrooms in-a-row and after the
πότον ἦκον αἱ γαμούμεναι καὶ παρεκαθέζοντο ἑκάστη
drinking came the being-married and sat-down each
τῷ ἑαυτῆς· οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς καὶ ἐφίλησαν·
by-the her-own they and took-the-right-hand both them and kissed

πρῶτος δὲ ὁ βασιλεὺς ἦρξεν· ἐν τῷ αὐτῷ γὰρ πάντων
first and the king began in the same for of-all
ἐγίγνοντο οἱ γάμοι. καὶ τοῦτο, εἴπερ τι ἄλλο, ἔδοξε
were the weddings and this if-indeed anything other it-seemed
δημοτικόν τε καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρον.
popular both and friendly-to-companions to-have-done Alexander
4.8 οἱ δὲ παραλαβόντες ἀπῆγον τὴν αὑτοῦ ἕκαστος· προῖκας
they and having-received led-away the his-own each dowries
δὲ ξυμπάσαις ἐπέδωκεν Ἀλέξανδρος. καὶ ὅσοι δὲ
and to-all gave Alexander and as-many-as and
ἄλλοι ἠγμένοι ἦσαν Μακεδόνες τῶν Ἀσιανῶν τινας
other married were Macedonians of-the Asian some
γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα,
women to-be-registered he-ordered also of-these the names
καὶ ἐγένοντο ὑπὲρ τοὺς μυρίους, καὶ τούτοις δωρεαὶ
and they-were over the ten-thousand and to-these gifts
Ἀλεξάνδρου ἐδόθησαν ἐπὶ τοῖς γάμοις.
of-Alexander were-given at the weddings
5.1 καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς ὅσοις χρέα
and the debts to-pay-off of-the army for-as-many-as debts
ἦν ἐν καιρῷ οἱ ἔδοξε, καὶ κελεύει ἀπογράφεσθαι
were in season to-him it-seemed and he-orders to-register
ὁπόσον ὀφείλει ἕκαστος, ὡς ληψομένους. καὶ τὰ μὲν
how-much owes each as about-to-receive and the indeed
πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα δεδιότες ἐξ
first few registered of-them the names fearing from
Ἀλεξάνδρου μὴ πεῖρα αὖτη εἴη καθειμένη, ὅτῳ οὐκ
Alexander lest a-test this might-be set-down for-whom not
ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι καὶ ὅτῳ
sufficient the pay of-the soldiers is and for-whom
πολυτελὴς ἡ δίαιτα.
extravagant the living

ὡς δὲ ἐξήγγελτο ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ 5.2
when and it-had-been-reported that not register themselves the
πολλοί, ἀλλ᾽ ἐπικρύπτουσιν ὅτῳ τι εἴη συμβόλαιον,
most but hide whoever any might-have contract
τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν· οὐ γὰρ
the indeed distrust of-the soldiers he-reproached not for
χρῆναι οὔτ᾽ οὖν τὸν βασιλέα ἄλλο τι ἢ ἀληθεύειν
to-be-right neither then the king other anything than to-speak-the-truth
πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινὰ ἄλλο
to the subjects nor of-the ruled anyone other
τι ἢ ἀληθεύειν δοκεῖν τὸν βασιλέα.
anything than to-speak-the-truth to-think the king
καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ καὶ ἐπὶ τούτων 5.3
having-set-up and tables in the camp and on these
χρυσίον καὶ τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις,
gold and those about-to-take-charge of-the giving for-each
ὅστις συμβόλαιον ἐπεδείκνυτο, ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν
whoever a-contract showed to-pay-off the debts he-ordered
οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. καὶ οὕτω δὴ
not registering any-longer the names and so indeed
ἐπίστευσάν τε ἀληθεύειν Ἀλέξανδρον καὶ σὺν χάριτι
they-believed both to-speak-the-truth Alexander and with gratitude
μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι
greater became to-them the not to-be-known more somewhat
ἢ τὸ παύσασθαι ὀφείλοντας. λέγεται δὲ γενέσθαι ἡ
than the to-have-ceased owing is-said and to-have-been the
δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια.
giving this to-the army to talents twenty-thousand
ἔδωκεν δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ᾽ 5.4
he-gave and also gifts to-others other-things as anyone according-to
ἀξίωσιν ἐτιμᾶτο ἢ κατ᾽ ἀρετὴν εἴ τις ἐπιφανὴς
rank was-honored or according-to valor if anyone conspicuous

ἐγεγόνει ἐν τοῖς κινδύνοις. καὶ ἐστεφάνωσε χρυσοῖς
had-become in the dangers and he-crowned with-golden
στεφάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας, πρῶτον μὲν
crowns those for-bravery distinguished first indeed
Πευκέσταν τὸν ὑπερασπίσαντα, ἔπειτα Λεοννάτον,
Peucestas the having-shielded then Leonnatus
5.5 καὶ τοῦτον ὑπερασπίσαντα, καὶ διὰ τοὺς ἐν Ἰνδοῖς
also this-one having-shielded and because-of the in Indians
κινδύνους καὶ τὴν ἐν Ὄροις νίκην γενομένην, ὅτι
dangers and the at Ora victory having-happened because
παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς
drawn-up with the left-behind force against the
νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ τῶν πλησίον τούτων
rebelling of-the both Oreitae and of-those near these
ᾠκισμένων τῇ τε μάχῃ ἐκράτησε καὶ τὰ ἄλλα καλῶς
settled in-the both battle he-prevailed and the other-things well
ἔδοξε τὰ ἐν Ὄροις κοσμῆσαι.
he-seemed the-affairs at Ora to-have-ordered
5.6 ἐπὶ τούτοις δὲ Νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς
after these and Nearchus for the voyage the from the
Ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν ἐστεφάνωσε· καὶ
of-Indians land through the great sea he-crowned and
γὰρ καὶ οὗτος ἤδη ἀφιγμένος ἐς Σοῦσα ἦν· ἐπὶ τούτοις
for also this-one already having-arrived at Susa was after these
δὲ Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς·
and Onesicritus the helmsman of-the ship the royal
ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους τοὺς σωματοφύλακας.
still and Hephaestion and the other the bodyguards
6.1 ἦκον δὲ αὐτῷ καὶ οἱ σατράπαι οἱ ἐκ τῶν πόλεών τε τῶν
came and to-him also the satraps the from the cities both the
νεοκτίστων καὶ τῆς ἄλλης γῆς τῆς δοριαλώτου παῖδας
newly-founded and of-the other land the spear-won youths

ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες τὴν αὐτὴν
coming-of-age already about thirty-thousand leading the same
ἡλικίαν γεγονότας, οὓς Ἐπιγόνους ἐκάλει Ἀλέξανδρος,
age having-reached whom Successors called Alexander
κεκοσμημένους Μακεδονικοῖς ὅπλοις καὶ τὰ πολέμια ἐς
equipped with-Macedonian arms and the warlike-skills in
τὸν τρόπον τὸν Μακεδονικὸν ἠσκημένους.
the manner the Macedonian trained
καὶ οὗτοι ἀφικόμενοι λέγονται ἀνιᾶσαι Μακεδόνας, ὡς 6.2
and these having-arrived are-said to-have-grieved Macedonians as
πάντα δὴ μηχανωμένου Ἀλεξάνδρου ὑπὲρ τοῦ μηκέτι
everything indeed contriving Alexander for the no-longer
ὡσαύτως δεῖσθαι Μακεδόνων· εἶναι γὰρ οὖν καὶ Μηδικὴν
likewise to-need Macedonians to-be for then also Median
τὴν Ἀλεξάνδρου στολὴν ἄλγος οὐ σμικρὸν Μακεδόσιν
the of-Alexander dress pain not small to-Macedonians
ὁρωμένην καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ Περσικῷ
being-seen and the weddings in the custom the Persian
ποιηθέντας οὐ πρὸς θυμοῦ γενέσθαι τοῖς πολλοῖς αὐτῶν,
held not to heart to-have-been to-the most of-them
οὐδὲ τῶν γημάντων ἔστιν οἷς, καίτοι τῇ ἰσότητι τῇ
not-even of-the having-married there-are to-whom although by-the equality the
ἐς τὸν βασιλέα μεγάλως τετιμημένοις.
toward the king greatly honored
Πευκέστας τε ὁ Περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ 6.3
Peucestas both the of-Persians satrap in-the both dress and in-the
φωνῇ περσίζων ἐλύπει αὐτούς, ὅτι τῷ βαρβαρισμῷ
speech playing-the-Persian grieved them because at-the barbarism
αὐτοῦ ἔχαιρεν Ἀλέξανδρος, καὶ οἱ Βακτρίων δὲ καὶ οἱ
his rejoiced Alexander and the of-Bactrians and and the
Σογδιανῶν καὶ Ἀραχωτῶν ἱππεῖς καὶ Ζαραγγῶν δὲ καὶ
of-Sogdians and of-Arachotians cavalry and of-Zarangians and and

Ἀρείων καὶ Παρθυαίων καὶ ἐκ Περσῶν οἱ Εὐάκαι καλούμενοι
of-Arians and of-Parthyaeans and from Persians the Euacae called
ἱππεῖς καταλοχισθέντες εἰς τὴν ἵππον τὴν ἑταιρικὴν
cavalry enrolled into the cavalry the companion
ὅσοι αὐτῶν κατ᾽ ἀξίωσιν καὶ κάλλει τοῦ σώματος ἢ
as-many-as of-them in rank and beauty of-the body or
τῇ ἄλλῃ ἀρετῇ ὑπερφέροντες ἐφαίνοντο, καὶ πέμπτη ἐπὶ
in-the other excellence excelling appeared and fifth besides
τούτοις ἱππαρχία προσγενομένη, οὐ βαρβαρικὴ ἡ πᾶσα,
these hipparchy added not barbarian the whole
6.4 ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς ἱππικοῦ κατελέγησαν
but having-been-increased for the whole cavalry were-enrolled
ἐς αὐτὸ τῶν βαρβάρων, τῷ τε ἀγήματι προσκαταλεγέντες
into it of-the barbarians to-the both agema enrolled-in-addition
Κωφής τε ὁ Ἀρταβάζου καὶ Ὑδάρνης καὶ Ἀρτιβόλης οἱ
Cophes both the (son)-of-Artabazus and Hydarnes and Artiboles the
Μαζαίου, καὶ Σισίνης καὶ Φραδασμένης οἱ Φραταφέρνου
(sons)-of-Mazaeus and Sisines and Phradasmenes the (sons)-of-Phrataphernes
τοῦ Παρθυαίων καὶ Ὑρκανίας σατράπου παῖδες,
the of-Parthyaeans and of-Hyrcania satrap sons
6.5 καὶ Ἰτάνης Ὀξυάρτου μὲν παῖς, Ῥωξάνης δὲ τῆς γυναικὸς
and Itanes of-Oxyartes indeed son of-Roxane and the wife
Ἀλεξάνδρου ἀδελφός, καὶ Αἰγοβάρης καὶ ὁ τούτου ἀδελφὸς
of-Alexander brother and Aegobares and the his brother
Μιθροβαῖος, καὶ ἡγεμὼν ἐπὶ τούτοις ἐπισταθεὶς Ὑστάσπης
Mithrobaeus and commander over these placed Hystaspes
ὁ Βάκτριος, καὶ τούτοις δόρατα Μακεδονικὰ ἀντὶ
the Bactrian and to-these spears Macedonian instead-of
τῶν βαρβαρικῶν μεσαγκύλων δοθέντα, — ταῦτα πάντα
the barbarian thonged-javelins given these-things all
ἐλύπει τοὺς Μακεδόνας, ὡς πάντῃ δὴ βαρβαρίζοντος
grieved the Macedonians as wholly indeed barbarizing

τῇ γνώμῃ Ἀλεξάνδρου, τὰ δὲ Μακεδονικὰ νόμιμά τε
in-the spirit Alexander the and Macedonian customs both
καὶ αὐτοὺς Μακεδόνας ἐν ἀτίμῳ χώρᾳ ἄγοντος.
and themselves Macedonians in dishonored place holding

III · THE RIVERS, AND THE MUTINY AT OPIS

Alexander sails down the Eulaeus and along the coast to the Tigris, and up it to Opis, removing the Persians' weirs. There he announces the discharge of the old and disabled. The Macedonians, already resentful of his Persian ways, shout that he should send them all home and campaign with his father Ammon. He has thirteen ringleaders led away to death and answers them: Philip found them shepherds in skins and made them city-dwellers and masters of their neighbors, and he himself has given them Asia and kept nothing but the purple and the diadem, bears wounds on every part of the front of his body, and has paid their debts and honored their dead. Let them all go, and tell those at home that they deserted their king.

Ἀλέξανδρος δὲ τῆς μὲν πεζῆς στρατιᾶς τὴν πολλὴν 7.1
Alexander and of-the indeed infantry army the most
Ἡφαιστίωνα ἄγειν κελεύει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν
Hephaestion to-lead orders as-far to the sea the
Περσικήν, αὐτὸς δὲ ἀναπλεύσαντος αὐτῷ τοῦ ναυτικοῦ
Persian himself and having-sailed-up for-him the fleet
ἐς τὴν Σουσίαν γῆν ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς
into the Susian land having-embarked-on the ships with the
ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι καὶ τῶν ἱππέων τῶν
shield-bearers both and the agema and of-the cavalry the
ἑταίρων ἀναβιβασάμενος οὐ πολλοὺς κατέπλει κατὰ τὸν
companion having-embarked not many sailed-down down the
Εὐλαῖον ποταμὸν ὡς ἐπὶ θάλασσαν.
Eulaeus river as toward sea

7.2 ἤδη δὲ πλησίον ὢν τῆς ἐκβολῆς τῆς ἐς τὸν πόντον τὰς
already and near being of-the mouth the into the sea the
μὲν πλείονάς τε καὶ πεπονηκυίας τῶν νεῶν καταλείπει
indeed more both and damaged of-the ships he-leaves
αὐτοῦ, αὐτὸς δὲ ταῖς μάλιστα ταχυναυτούσαις παρέπλει
there himself and with-the most fast-sailing coasted
ἀπὸ τοῦ Εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν ὡς ἐπὶ
from the Eulaeus river along the sea as toward
τὰς ἐκβολὰς τοῦ Τίγρητος· αἱ δὲ ἄλλαι αὐτῷ νῆες
the mouths — of-Tigris the and other his ships
ἀνακομισθεῖσαι κατὰ τὸν Εὐλαῖον ἔστε ἐπὶ τὴν διώρυχα,
having-been-taken-back down — Eulaeus as-far to the canal
ἣ τέτμηται ἐκ τοῦ Τίγρητος ἐς τὸν Εὐλαῖον, ταύτῃ
which has-been-cut from — Tigris into — Eulaeus there
διεκομίσθησαν ἐς τὸν Τίγρητα.
were-conveyed into — Tigris

7.3 τῶν γὰρ δὴ ποταμῶν τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος,
of-the for indeed rivers — both of-Euphrates and — of-Tigris
οἳ τὴν μέσην σφῶν Ἀσσυρίαν ἀπείργουσιν, ὅθεν καὶ
which the middle between-them Assyria enclose whence also
τὸ ὄνομα Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται, ὁ
the name Mesopotamia by the natives it-is-called —
μὲν Τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ Εὐφράτου
indeed Tigris much somewhat lower flowing — than-Euphrates
διώρυχάς τε πολλὰς ἐκ τοῦ Εὐφράτου ἐς αὑτὸν δέχεται
canals both many from — Euphrates into itself receives
καὶ πολλοὺς ἄλλους ποταμοὺς παραλαβὼν καὶ ἐξ αὐτῶν
and many other rivers having-taken-in and from them
αὐξηθεὶς ἐσβάλλει ἐς τὸν πόντον τὸν Περσικόν, μέγας
increased empties into the sea the Persian great

τε καὶ οὐδαμοῦ διαβατὸς ἔστε ἐπὶ τὴν ἐκβολήν, καθότι
both and nowhere fordable as-far to the mouth because
οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν.
not is-used-up of-it any on the country
ἔστι γὰρ μετεωροτέρα ἡ ταύτῃ γῆ τοῦ ὕδατος οὐδὲ 7.4
is for higher the there land than-the water nor
ἐκδίδωσιν οὗτος κατὰ τὰς διώρυχας οὐδὲ ἐς ἄλλον
does-it-flow-out this-one through the canals nor into another
ποταμόν, ἀλλὰ δέχεται γὰρ ἐκείνους μᾶλλον, ἄρδεσθαί
river but receives for those rather to-be-irrigated
τε ἀπὸ οὗ τὴν χώραν οὐδαμῇ παρέχει.
both from which the country nowhere it-allows
ὁ δὲ Εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχείλης 7.5
— and Euphrates raised both flows and level-with-its-banks
πανταχῇ τῇ γῇ, καὶ διώρυχες δὲ πολλαὶ ἀπ᾽ αὐτοῦ
everywhere with-the land and canals and many from it
πεποίηνται, αἱ μὲν ἀέναοι, ἀφ᾽ ὧν ὑδρεύονται οἱ
have-been-made the-ones indeed ever-flowing from which draw-water those
παρ᾽ ἑκάτερα ᾠκισμένοι, τὰς δὲ καὶ πρὸς καιρὸν
on either-side settled the-others and also for occasion
ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς ἔχοι, ἐς τὸ
they-make whenever to-them of-water in-want it-should-be for the
ἐπάρδειν τὴν χώραν· οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη
to-irrigate the country not for is-rained-on the most the land this
ἐξ οὐρανοῦ· καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ Εὐφράτης
from sky and thus into not much water — Euphrates
τελευτῶν καὶ τεναγῶδες τοῦτο οὕτως ἀποπαύεται.
ending and marshy this thus ceases
Ἀλέξανδρος δὲ περιπλεύσας κατὰ τὴν θάλασσαν ὅσον 7.6
Alexander and having-sailed-round along the sea as-much-as
μεταξὺ τοῦ τε Εὐλαίου ποταμοῦ καὶ τοῦ Τίγρητος ἐπεῖχεν
between of-the both Eulaeus river and — of-Tigris extended

ὁ αἰγιαλὸς τοῦ κόλπου τοῦ Περσικοῦ ἀνέπλει κατὰ τὸν
the shore of-the gulf of-the Persian sailed-up along —
Τίγρητα ἔστε ἐπὶ τὸ στρατόπεδον, ἵνα Ἡφαιστίων αὐτῷ
Tigris as-far to the camp where Hephaestion for-him
τὴν δύναμιν πᾶσαν ἔχων ἐστρατοπεδεύκει. ἐκεῖθεν δὲ
the force all having had-encamped thence and
αὖθις ἔπλει ἐς Ὦπιν, πόλιν ἐπὶ τοῦ Τίγρητος ᾠκισμένην.
again he-sailed to Opis a-city on — Tigris settled
7.7 ἐν δὲ τῷ ἀνάπλῳ τοὺς καταρράκτας τοὺς κατὰ τὸν
in and the voyage-up the weirs the along the
ποταμὸν ἀφανίζων ὁμαλὸν πάντῃ ἐποίει τὸν ῥοῦν, οἳ δὴ
river removing level everywhere he-made the current which indeed
ἐκ Περσῶν πεποιημένοι ἦσαν τοῦ μή τινα ἀπὸ θαλάσσης
by Persians made had-been for-the not anyone from sea
ἀναπλεῦσαι εἰς τὴν χώραν αὐτῶν νηΐτῃ στόλῳ κρατήσαντα.
to-sail-up into the country of-them with-naval force having-prevailed
ταῦτα δὲ μεμηχάνητο ἅτε δὴ οὐ ναυτικοῖς τοῖς Πέρσαις·
these-things and had-been-contrived as indeed not seafaring to-the Persians
οὕτω δὴ συνεχεῖς οἱ καταρράκται πεποιημένοι ἄπορον
so indeed continuous the weirs made impassable
τὸν ἀνάπλουν ἐποίουν τὸν κατὰ τὸν Τίγρητα. Ἀλέξανδρος
the voyage-up made the along — Tigris Alexander
δὲ οὐκ ἔφη τῶν κρατούντων τοῖς ὅπλοις εἶναι τὰ
and not he-said of-those prevailing with-the arms to-be the
τοιαῦτα σοφίσματα· οὔκουν πρὸς αὑτοῦ ἐποιεῖτο ταύτην
such devices not-therefore for himself he-considered this
τὴν ἀσφάλειαν, ἥντινα ἔργῳ οὐδὲ λόγου ἀξίαν ἀπέφηνε
the security which in-fact not-even of-account worthy he-showed
οὐ χαλεπῶς διακόψας τῶν Περσῶν τὰ σπουδάσματα.
not with-difficulty having-broken-through of-the Persians the works

ὡς δὲ ἐς τὴν Ὦπιν ἀφίκετο, συναγαγὼν τοὺς Μακεδόνας 8.1
when and to — Opis he-arrived having-gathered the Macedonians
προεῖπεν ὅτι τοὺς ὑπὸ γήρως ἢ πηρώσεως τοῦ σώματος
he-proclaimed that those by age or maiming of-the body
ἀχρείους ἐς τὰ πολέμια ὄντας παραλύει μὲν τῆς
useless for the war being he-releases indeed from-the
στρατιᾶς, ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη, ἐπιδώσει
army he-sends-away and to the their-own abodes he-will-give
δὲ ὅσα αὐτούς τε ζηλωτοτέρους ποιήσει τοῖς οἴκοι
and as-much-as them both more-enviable will-make to-those at-home
καὶ τοὺς ἄλλους Μακεδόνας ἐξορμήσει ἐς τὸ ἐθέλειν τῶν
and the other Macedonians will-urge to the to-wish of-the
αὐτῶν κινδύνων τε καὶ πόνων μετέχειν.
same dangers both and toils to-share
Ἀλέξανδρος μὲν ὡς χαριούμενος δῆθεν τοῖς Μακεδόσιν 8.2
Alexander indeed as about-to-please forsooth the Macedonians
ταῦτα ἔλεγεν· οἱ δὲ ὡς ὑπερορώμενοί τε ἤδη πρὸς
these-things said they and as being-slighted both already by
Ἀλεξάνδρου καὶ ἀχρεῖοι πάντῃ ἐς τὰ πολέμια νομιζόμενοι
Alexander and useless wholly for the war considered
οὐκ ἀλόγως αὖ τῷ λόγῳ ἠχθέσθησαν τῷ πρὸς Ἀλεξάνδρου
not unreasonably again at-the word were-vexed the by Alexander
λεχθέντι, κατὰ τὴν στρατιὰν ταύτην πᾶσαν πολλοῖς καὶ
spoken during the expedition this all by-many also
ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις ἤδη ἐλύπει αὐτοὺς ἥ
other-things having-been-vexed because often already grieved them the
τε ἐσθὴς ἡ Περσικὴ ἐς τοῦτο φέρουσα καὶ τῶν Ἐπιγόνων
both dress the Persian toward this tending and of-the Successors
τῶν βαρβάρων ἡ ἐς τὰ Μακεδονικὰ ἤθη κόσμησις καὶ
the barbarians the into the Macedonian ways equipment and
ἀνάμιξις τῶν ἀλλοφύλων ἱππέων ἐς τὰς τῶν ἑταίρων τάξεις.
mixing of-the foreign cavalry into the of-the companions ranks

8.3 οὔκουν σιγῇ ἔχοντες ἐκαρτέρησαν, ἀλλὰ πάντας γὰρ
not-therefore in-silence holding they-endured but all for
ἀπαλλάττειν στρατιᾶς ἐκέλευον, αὐτὸν δὲ μετὰ τοῦ
to-release from-the-army they-bade him and with the
πατρὸς στρατεύεσθαι, τὸν Ἄμμωνα δὴ τῷ λόγῳ
father to-campaign — Ammon indeed in-the word
ἐπικερτομοῦντες. ταῦτα ἀκούσας Ἀλέξανδρος ἦν γὰρ δὴ
mocking these-things having-heard Alexander was for indeed
ὀξύτερός τε ἐν τῷ τότε καὶ ἀπὸ τῆς βαρβαρικῆς
sharper both in the then-(time) and from the barbarian
θεραπείας οὐκέτι ὡς πάλαι ἐπιεικὴς ἐς τοὺς Μακεδόνας
service no-longer as of-old reasonable toward the Macedonians
καταπηδήσας σὺν τοῖς ἀμφ᾽ αὑτὸν ἡγεμόσιν ἀπὸ τοῦ
having-leapt-down with the around himself officers from the
βήματος ξυλλαβεῖν τοὺς ἐπιφανεστάτους τῶν ταραξάντων
platform to-seize the most-conspicuous of-those having-stirred-up
τὸ πλῆθος κελεύει, αὐτὸς τῇ χειρὶ ἐπιδεικνύων τοῖς
the multitude orders himself with-the hand pointing-out to-the
ὑπασπισταῖς οὕστινας χρὴ συλλαμβάνειν· καὶ
shield-bearers whom it-was-necessary to-arrest and
ἐγένοντο οὗτοι ἐς τρισκαίδεκα. τούτους μὲν δὴ ἀπάγειν
were these about thirteen these indeed indeed to-lead-away
κελεύει τὴν ἐπὶ θανάτῳ. ὡς δὲ κατεσιώπησαν οἱ ἄλλοι
he-orders the to death when and fell-silent the others
ἐκπλαγέντες, ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα ἔλεξεν ὧδε.
panic-struck having-gone-up again onto the platform he-spoke thus
9.1 οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν, ὦ Μακεδόνες, τὴν
not for the to-stop your O Macedonians the
οἴκαδε ὁρμὴν λεχθήσεταί μοι ὅδε ὁ λόγος, ἔξεστι
homeward impulse will-be-spoken by-me this the speech it-is-permitted
γὰρ ὑμῖν ἀπιέναι ὅποι βούλεσθε ἐμοῦ γε ἕνεκα, ἀλλὰ
for to-you to-go-away wherever you-wish of-me at-least for-the-sake but

ὡς γνῶναι ὑμᾶς πρὸς ὁποίους τινὰς ἡμᾶς ὄντας ὁποῖοί
so-as to-know you toward what-sort-of some us being what-sort-of
τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσεσθε.
some yourselves having-become you-depart
καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πατρός, ἥπερ καὶ 9.2
and first at-least from Philip the father as also
εἰκός, τοῦ λόγου ἄρξομαι. Φίλιππος γὰρ παραλαβὼν
it-is-fitting the speech I-will-begin Philip for having-taken-over
ὑμᾶς πλανήτας καὶ ἀπόρους, ἐν διφθέραις τοὺς πολλοὺς
you wanderers and destitute in hides the most
νέμοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα καὶ ὑπὲρ τούτων
pasturing on the mountains sheep few and for these
κακῶς μαχομένους Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ τοῖς
badly fighting with-Illyrians and Triballians and the
ὁμόροις Θρᾳξίν, χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθερῶν
bordering Thracians cloaks indeed to-you instead-of the hides
φορεῖν ἔδωκεν, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ πεδία,
to-wear gave he-led-down and from the mountains to the plains
ἀξιομάχους καταστήσας τοῖς προσχώροις τῶν βαρβάρων,
a-match having-made-you for-the neighboring of-the barbarians
ὡς μὴ χωρίων ἔτι ὀχυρότητι πιστεύοντας μᾶλλον
so-that not of-places any-longer in-the-strength trusting more
ἢ τῇ οἰκείᾳ ἀρετῇ σώζεσθαι, πόλεών τε οἰκήτορας
than in-the own valor to-be-safe of-cities both inhabitants
ἀπέφηνε καὶ νόμοις καὶ ἔθεσι χρηστοῖς ἐκόσμησεν.
he-made-you and with-laws and customs good he-ordered
αὐτῶν δὲ ἐκείνων τῶν βαρβάρων, ὑφ' ὧν πρόσθεν 9.3
of-them and those-very the barbarians by whom before
ἤγεσθε καὶ ἐφέρεσθε αὐτοί τε καὶ τὰ ὑμέτερα,
you-were-plundered and carried-off yourselves both and the yours
ἡγεμόνας κατέστησεν ἐκ δούλων καὶ ὑπηκόων, καὶ τῆς
leaders he-made from slaves and subjects and —

Θρᾴκης τὰ πολλὰ τῇ Μακεδονίᾳ προσέθηκεν, καὶ τῶν
of-Thrace the most — to-Macedonia he-added and of-the
ἐπὶ θαλάττῃ χωρίων τὰ ἐπικαιρότατα καταλαβόμενος τὴν
on sea places the most-strategic having-seized the
ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτασε, καὶ τῶν μετάλλων τὴν
trade to-the country he-opened and of-the mines the
ἐργασίαν ἀδεῆ παρέσχε, Θεσσαλῶν δὲ ἄρχοντας,
working safe he-provided of-Thessalians and rulers
9.4 οὓς πάλαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε, καὶ τὸ
whom long-ago you-were-dead-with the fear he-made and the
Φωκέων ἔθνος ταπεινώσας τὴν ἐς τὴν Ἑλλάδα πάροδον
of-Phocians people having-humbled the into — Greece passage
πλατεῖαν καὶ εὔπορον ἀντὶ στενῆς τε καὶ ἀπόρου ὑμῖν
broad and easy instead-of narrow both and difficult for-you
ἐποίησεν, Ἀθηναίους τε καὶ Θηβαίους ἐφεδρεύοντας ἀεὶ
he-made Athenians both and Thebans lying-in-wait always
τῇ Μακεδονίᾳ ἐς τοσόνδε ἐταπείνωσεν, ἤδη ταῦτά γε
— for-Macedonia to so-far he-humbled already these-things at-least
καὶ ἡμῶν αὐτῷ ξυμπονούντων, ὡς ἀντὶ τοῦ φόρους
also us him helping-in-the-toil so-that instead-of the tributes
τελεῖν Ἀθηναίοις καὶ ὑπακούειν Θηβαίων, παρ᾽ ἡμῶν ἐν
to-pay to-Athenians and to-obey Thebans from us in
τῷ μέρει ἐκείνους τὴν ἀσφάλειάν σφισι πορίζεσθαι.
the turn they the security for-themselves to-obtain
9.5 ἐς Πελοπόννησον δὲ παρελθὼν τὰ ἐκεῖ αὖ ἐκόσμησε
into Peloponnese and having-gone the-affairs there again he-ordered
καὶ ἡγεμὼν αὐτοκράτωρ συμπάσης τῆς ἄλλης Ἑλλάδος
and leader with-full-powers of-all the other Greece
ἀποδειχθεὶς τῆς ἐπὶ τὸν Πέρσην στρατιᾶς οὐχ ἑαυτῷ
having-been-appointed of-the against the Persian expedition not to-himself

μᾶλλόν τι τὴν δόξαν τήνδε ἢ τῷ κοινῷ τῶν
more somewhat the glory this than to-the commonwealth of-the
Μακεδόνων προσέθηκεν.
Macedonians he-added

ταῦτα μὲν τὰ ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐς ὑμᾶς 9.6
these-things indeed the from the father the my to you
ὑπηργμένα, ὡς μὲν αὐτὰ ἐφ' ἑαυτῶν σκέψασθαι μεγάλα,
having-been-begun as indeed them by themselves to-consider great
μικρὰ δὲ ὥς γε δὴ πρὸς τὰ ἡμέτερα ξυμβαλεῖν. ὃς
small but as at-least indeed with the ours to-compare who
παραλαβὼν παρὰ τοῦ πατρὸς χρυσᾶ μὲν καὶ ἀργυρᾶ
having-taken-over from the father golden indeed and silver
ἐκπώματα ὀλίγα, τάλαντα δὲ οὐδὲ ἑξήκοντα ἐν τοῖς
cups few talents and not-even sixty in the
θησαυροῖς, χρεῶν δὲ ὀφειλόμενα ὑπὸ Φιλίππου ἐς
treasuries of-debts and owed by Philip about
πεντακόσια τάλαντα, δανεισάμενος ἐπὶ τούτοις αὐτὸς
five-hundred talents having-borrowed in-addition-to these myself
ἄλλα ὀκτακόσια ὁρμηθεὶς ἐκ τῆς χώρας τῆς γε
another eight-hundred having-set-out from the land the at-least
οὐδὲ ὑμᾶς αὐτοὺς βοσκούσης καλῶς εὐθὺς μὲν τοῦ
not-even you yourselves feeding well at-once indeed —
Ἑλλησπόντου ὑμῖν τὸν πόρον θαλασσοκρατούντων ἐν τῷ
of-Hellespont for-you the passage ruling-the-sea in the
τότε Περσῶν ἀνεπέτασα·
then-(time) Persians I-opened

κρατήσας δὲ τῇ ἵππῳ τοὺς σατράπας τοὺς Δαρείου 9.7
having-prevailed and with-the cavalry over-the satraps the of-Darius
τήν τε Ἰωνίαν πᾶσαν τῇ ὑμετέρᾳ ἀρχῇ προσέθηκα καὶ
— both Ionia all to-the your rule I-added and
τὴν Αἰολίδα πᾶσαν καὶ Φρύγας ἀμφοτέρους καὶ Λυδούς,
— Aeolis all and Phrygians both and Lydians

καὶ Μίλητον εἷλον πολιορκίᾳ· τὰ δὲ ἄλλα πάντα
and Miletus I-took by-siege the and other-things all
ἑκόντα προσχωρήσαντα λαβὼν ὑμῖν καρποῦσθαι ἔδωκα·
willingly having-come-over having-taken for-you to-enjoy I-gave
9.8 καὶ τὰ ἐξ Αἰγύπτου καὶ Κυρήνης ἀγαθά, ὅσα
and the from Egypt and Cyrene goods as-many-as
ἀμαχεὶ ἐκτησάμην, ὑμῖν ἔρχεται, ἥ τε κοίλη Συρία
without-battle I-acquired to-you come the both hollow Syria
καὶ ἡ Παλαιστίνη καὶ ἡ μέση τῶν ποταμῶν ὑμέτερον
and — Palestine and the middle-of the rivers your
κτῆμά εἰσι, καὶ Βαβυλὼν καὶ Βάκτρα καὶ Σοῦσα ὑμέτερα,
possession are and Babylon and Bactra and Susa yours
καὶ ὁ Λυδῶν πλοῦτος καὶ οἱ Περσῶν θησαυροὶ καὶ
and the of-Lydians wealth and the of-Persians treasures and
τὰ Ἰνδῶν ἀγαθὰ καὶ ἡ ἔξω θάλασσα ὑμέτερα· ὑμεῖς
the of-Indians goods and the outer sea yours you
σατράπαι, ὑμεῖς στρατηγοί, ὑμεῖς ταξιάρχαι.
satraps you generals you taxiarchs
9.9 ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀπὸ τούτων τῶν πόνων
as for-me myself what remains from these the toils
ὅτι μὴ αὕτη ἡ πορφύρα καὶ τὸ διάδημα τοῦτο; κέκτημαι
except — this the purple and the diadem this I-possess
δὲ ἰδίᾳ οὐδέν, οὐδὲ ἔχει τις ἀποδεῖξαι θησαυροὺς ἐμοὺς
and privately nothing nor has anyone to-show treasures mine
ὅτι μὴ ταῦτα, ὑμέτερα κτήματα ἢ ὅσα ἕνεκα
except — these yours possessions or as-many-as for-the-sake-of
ὑμῶν φυλάττεται. ἐπεὶ οὐδὲ ἔστιν ἰδίᾳ μοι ἐς ὅ τι
you are-guarded since not-even is privately for-me for what ever
φυλάξω αὐτούς, σιτουμένῳ τε τὰ αὐτὰ ὑμῖν σιτία καὶ
I-should-guard them eating both the same to-you food and
ὕπνον τὸν αὐτὸν αἱρουμένῳ· καίτοι οὐδὲ σιτία ἐμοὶ δοκῶ
sleep the same choosing although not-even food I I-think

τὰ αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖσθαι· προαγρυπνῶν
the same as-those living-luxuriously of-you to-eat keeping-watch-before
δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχοιτε ὑμεῖς.
and you I-know so-that to-sleep you-might-be-able you
ἀλλὰ ταῦτα γὰρ ὑμῶν πονούντων καὶ ταλαιπωρουμένων 10.1
but these-things for you toiling and suffering-hardship
ἐκτησάμην αὐτὸς ἀπόνως καὶ ἀταλαιπώρως ἐξηγούμενος. καὶ
I-acquired myself without-toil and without-hardship leading and
τίς ὑμῶν ἢ πονήσας οἶδεν ἐμοῦ μᾶλλον *** ἢ ἐγὼ ὑπὲρ
who of-you or having-toiled knows than-me more (lacuna) or I for
ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ τραύματα ὑμῶν ἐστι γυμνώσας
that-one come indeed and to-whom wounds of-you are having-bared
αὐτὰ ἐπιδειξάτω καὶ ἐγὼ τὰ ἐμὰ ἐπιδείξω ἐν μέρει·
them let-him-show and I the mine will-show in turn
ὡς ἔμοιγε οὐκ ἔστιν ὅ τι τοῦ σώματος τῶν γε δὴ 10.2
as for-me not there-is what ever of-the body of-the at-least indeed
ἔμπροσθεν μερῶν ἄτρωτον ὑπολέλειπται, οὐδὲ ὅπλον τι
front parts unwounded has-been-left nor weapon any
ἔστιν ἢ ἐκ χειρὸς ἢ τῶν ἀφιεμένων οὗ γε οὐκ ἴχνη
there-is either from hand or of-the being-hurled of-which at-least not traces
ἐν ἐμαυτῷ φέρω· ἀλλὰ καὶ ξίφει ἐκ χειρὸς τέτρωμαι
on myself I-bear but also by-sword from hand I-have-been-wounded
καὶ τετόξευμαι ἤδη καὶ ἀπὸ μηχανῆς βέβλημαι, καὶ
and I-have-been-shot already and from an-engine I-have-been-struck and
λίθοις πολλαχῇ καὶ ξύλοις παιόμενος ὑπὲρ ὑμῶν καὶ
with-stones in-many-places and with-clubs being-beaten for you and
τῆς ὑμετέρας δόξης καὶ τοῦ ὑμετέρου πλούτου νικῶντας
the your glory and the your wealth victorious
ὑμᾶς ἄγω διὰ πάσης γῆς καὶ θαλάσσης καὶ πάντων
you I-lead through all land and sea and all
ποταμῶν καὶ ὀρῶν καὶ πεδίων πάντων,
rivers and mountains and plains all

10.3 γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμηκα καὶ πολλῶν ὑμῶν
marriages both to-you the same I-have-married and of-many of-you
οἱ παῖδες συγγενεῖς ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς. ἔτι
the children kin will-be to-the children the mine further
δὲ ᾧ χρέα ἦν, οὐ πολυπραγμονήσας ἐφ' ὅτῳ ἐγένετο,
and to-whom debts were not inquiring for what they-arose
τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα δὲ ἁρπαζόντων,
so-much indeed earning-pay so-much and plundering
ὁπότε ἐκ πολιορκίας ἁρπαγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα.
whenever from siege plunder happened I-have-paid-off these-things
στέφανοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσι μνημεῖα τῆς
crowns both golden for-the most of-you are memorials of-the
τε ἀρετῆς τῆς ὑμετέρας καὶ τῆς ἐξ ἐμοῦ τιμῆς ἀθάνατα.
both valor the your and of-the from me honor immortal
10.4 ὅστις δὲ δὴ καὶ ἀπέθανεν, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ
whoever and indeed also died glorious indeed for-him the end
ἐγένετο, περιφανὴς δὲ ὁ τάφος, χαλκαῖ δὲ αἱ εἰκόνες
became conspicuous and the tomb bronze and the statues
τῶν πλείστων οἴκοι ἑστᾶσιν, οἱ γονεῖς δ' ἔντιμοί εἰσι
of-the most at-home stand the parents and honored are
λειτουργίας τε ξυμπάσης καὶ εἰσφορᾶς ἀπηλλαγμένοι·
from-public-service both all and from-property-tax freed
οὐ γάρ τίς γε φεύγων ὑμῶν ἐτελεύτα ἐμοῦ ἄγοντος.
not for anyone at-least fleeing of-you died me leading
10.5 καὶ νῦν τοὺς ἀπολέμους ὑμῶν ζηλωτοὺς τοῖς οἴκοι
and now the unfit-for-war of-you enviable to-those at-home
ἀποπέμψειν ἤμελλον· ἀλλ' ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε,
to-send-away I-was-about but since all to-go-away you-wish
ἄπιτε πάντες, καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλατε ὅτι
go-away all and having-gone-away at-home report that

τὸν βασιλέα ὑμῶν Ἀλέξανδρον, νικῶντα μὲν Πέρσας καὶ
the king your Alexander conquering indeed Persians and
Μήδους καὶ Βακτρίους καὶ Σάκας,
Medes and Bactrians and Sacae
καταστρεψάμενον δὲ Οὐξίους τε καὶ Ἀραχωτοὺς καὶ 10.6
having-subdued and Uxians both and Arachotians and
Δράγγας, κεκτημένον δὲ καὶ Παρθυαίους καὶ Χορασμίους
Drangians having-acquired and also Parthyaeans and Chorasmians
καὶ Ὑρκανίους ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Κασπίαν,
and Hyrcanians as-far to the sea the Caspian
ὑπερβάντα δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας,
having-crossed and — Caucasus beyond the Caspian gates
καὶ περάσαντα Ὄξον τε ποταμὸν καὶ Τάναϊν, ἔτι δὲ τὸν
and having-passed Oxus both river and Tanais further and the
Ἰνδὸν ποταμόν, οὐδενὶ ἄλλῳ ὅτι μὴ Διονύσῳ περαθέντα,
Indus river by-no other except — Dionysus crossed
καὶ τὸν Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ τὸν Ὑδραώτην,
and — Hydaspes and — Acesines and — Hydraotes
καὶ τὸν Ὕφασιν διαπεράσαντα ἄν, εἰ μὴ ὑμεῖς ἀπωκνήσατε, 10.7
and — Hyphasis having-crossed-over — if not you had-shrunk-back
καὶ ἐς τὴν μεγάλην θάλασσαν κατ᾽ ἀμφότερα τοῦ Ἰνδοῦ
and into the great sea by both — of-Indus
τὰ στόματα ἐμβαλόντα, καὶ διὰ τῆς Γαδρωσίας τῆς
the mouths having-gone-in and through — Gadrosia the
ἐρήμου ἐλθόντα, ᾗ οὐδείς πω πρόσθεν σὺν στρατιᾷ
desert having-gone where no-one ever before with army
ἦλθε, καὶ Καρμανίαν ἐν παρόδῳ προσκτησάμενον καὶ
went and Carmania on the-way having-acquired-in-addition and
τὴν Ὠρειτῶν γῆν, περιπεπλευκότος δὲ ἤδη αὐτῷ τοῦ
the of-Oreitae land having-sailed-round and already for-him the
ναυτικοῦ τὴν ἀπ᾽ Ἰνδῶν γῆς εἰς Πέρσας θάλασσαν, ὡς
fleet the from Indian land to Persians sea when

εἰς Σοῦσα ἐπανηγάγετε, ἀπολιπόντες οἴχεσθε, παραδόντες
to Susa you-brought-back having-left you-are-gone having-handed-over
φυλάσσειν τοῖς νενικημένοις βαρβάροις. ταῦτα ὑμῖν καὶ
to-guard to-the conquered barbarians these-things for-you both
πρὸς ἀνθρώπων ἴσως εὐκλεᾶ καὶ πρὸς θεῶν ὅσια δήπου
by men perhaps glorious and by gods holy surely
ἔσται ἀπαγγελθέντα. ἄπιτε.
will-be having-been-reported go-away

IV · THE RECONCILIATION

Alexander shuts himself up for two days, and on the third gives the Persians commands, the title of kinsmen, and the right to kiss him. The Macedonians throw down their arms at his doors and beg to be let in. Callines complains that only Persians may kiss the king, and Alexander calls all the Macedonians his kinsmen. At a great feast he prays for harmony between Macedonians and Persians. Ten thousand veterans are sent home under Craterus with a talent each, their Asian children kept to be raised as Macedonians, and Antipater is summoned to bring fresh troops, perhaps so that his quarrel with Olympias does not grow past mending.

11.1 ταῦτα εἰπὼν κατεπήδησέ τε ἀπὸ τοῦ βήματος ὀξέως
these-things having-said he-leapt-down both from the platform swiftly
καὶ ἐς τὰ βασίλεια παρελθὼν οὔτε ἐθεράπευσε τὸ
and into the palace having-gone neither tended the
σῶμα οὔτε τῳ ὤφθη τῶν ἑταίρων· ἀλλ᾽ οὐδὲ ἐς
body nor by-anyone was-seen of-the companions but not-even on
τὴν ὑστεραίαν ὤφθη. τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν
the next-day was-seen on-the third and having-called inside of-the
Περσῶν τοὺς ἐπιλέκτους τάς τε ἡγεμονίας αὐτοῖς τῶν
Persians the picked the both commands to-them of-the

τάξεων διένειμε καὶ ὅσους συγγενεῖς ἀπέφηνε, τούτοις
battalions he-distributed and as-many-as kinsmen he-declared to-these
δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις.
and customary he-made to-kiss him alone
οἱ δὲ Μακεδόνες ἔν τε τῷ παραυτίκα ἀκούσαντες τῶν 11.2
the and Macedonians in both the immediate having-heard the
λόγων ἐκπεπληγμένοι σιγῇ ἔμενον αὐτοῦ πρὸς τῷ βήματι
words panic-struck in-silence remained there by the platform
οὐδέ τις ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ ὅτι
nor anyone followed the king departing except
μὴ οἱ ἀμφ᾽ αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματοφύλακες, οἱ
— the around him companions both and the bodyguards the
δὲ πολλοὶ οὔτε μένοντες ὅ τι πράττωσιν ἢ λέγωσιν
and most neither remaining what ever they-should-do or say
εἶχον, οὔτε ἀπαλλάσσεσθαι ἤθελον.
knew nor to-depart wished
ὡς δὲ τὰ Περσῶν τε καὶ Μήδων αὐτοῖς ἐξηγγέλλετο, 11.3
when and the-affairs of-Persians both and of-Medes to-them were-reported
αἵ τε ἡγεμονίαι Πέρσαις διδόμεναι καὶ ἡ στρατιὰ ἡ
the both commands to-Persians being-given and the army the
βαρβαρικὴ ἐς λόχους τε καταλεγομένη καὶ τὰ Μακεδονικὰ
barbarian into companies both being-enrolled and the Macedonian
ὀνόματα ἄγημά τι Περσικὸν καλούμενον καὶ πεζέταιροι
names agema some Persian called and foot-companions
Πέρσαι καὶ ἀργυρασπίδων τάξις Περσικὴ καὶ ἡ τῶν
Persians and of-silver-shields battalion Persian and the of-the
ἑταίρων ἵππος καὶ ταύτης ἄλλο ἄγημα βασιλικόν, οὐκέτι
companions cavalry and of-this another agema royal no-longer
καρτεροὶ σφῶν ἦσαν,
masters of-themselves they-were

11.4 ἀλλὰ ξυνδραμόντες ὡς πρὸς τὰ βασίλεια τὰ μὲν ὅπλα
but having-run-together as to the palace the indeed arms
αὐτοῦ πρὸ τῶν θυρῶν ἐρρίπτουν, ἱκετηρίας ταύτας τῷ
there before the doors threw supplications these to-the
βασιλεῖ, αὐτοὶ δ' ἐβόων πρὸ τῶν θυρῶν ἑστηκότες
king themselves and shouted before the doors standing
δεόμενοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν τῷ
begging to-go-in inside those both responsible for-the in the
τότε ταραχῆς καὶ τοὺς ἄρξαντας τῆς βοῆς ἐκδιδόναι
then-(time) disturbance and those having-begun of-the shouting to-surrender
ἐθέλειν· οὔκουν ἀπαλλαγήσεσθαι τῶν θυρῶν οὔτε ἡμέρας
to-be-willing not-therefore to-be-going-to-depart from-the doors neither by-day
οὔτε νυκτός, εἰ μή τινα οἶκτον σφῶν ἕξει Ἀλέξανδρος.
nor by-night if not some pity on-them will-have Alexander

11.5 ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, ὁ δὲ σπουδῇ ἐξέρχεται
these-things when were-reported to-him he and in-haste comes-out
καὶ ἰδών τε ταπεινῶς διακειμένους καὶ ἀκούσας σὺν
and having-seen both humbly disposed and having-heard with
nard of-themselves produce the both size of-the country
ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς Ἀραβίας ἤπερ ἡ τῆς
because not less the coast — of-Arabia than the —
Ἰνδικῆς αὐτῷ ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι
of-India to-him was-reported and islands to-it to-lie-off
πολλαί, καὶ λιμένες πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἷοι
many and harbors everywhere of-the country to-be-in such-as
παρασχεῖν μὲν ὅρμους τῷ ναυτικῷ, παρασχεῖν δὲ καὶ
to-provide indeed anchorages for-the fleet to-provide and also
πόλεις ἐνοικισθῆναι καὶ ταύτας γενέσθαι εὐδαίμονας.
cities to-be-settled and these to-become prosperous

20.3 δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ Εὐφράτου πελάγιαι
two and islands at the mouth — of-Euphrates in-the-open-sea
ἐξηγγέλλοντο αὐτῷ, ἡ μὲν πρώτη οὐ πρόσω τῶν
were-reported to-him the indeed first not far from-the
ἐκβολῶν τοῦ Εὐφράτου, ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους
mouths — of-Euphrates about hundred and twenty stades
ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε καὶ τοῦ στόματος τοῦ
being-distant from the shore both and the mouth of-the

ποταμοῦ, μικροτέρα αὕτη καὶ δασεῖα ὕλῃ παντοίᾳ·
river smaller this and thick with-wood of-every-kind
εἶναι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος καὶ τοὺς οἰκήτορας
to-be and in it also a-temple of-Artemis and the inhabitants
αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖσθαι·
of-it around the temple the living to-make
νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ ταύτας 20.4
to-be-grazed both it by-goats both wild and deer and these
ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι, οὐδὲ εἶναι θέμις θήραν
to-be-let-loose consecrated — to-Artemis nor to-be lawful hunting
ποιεῖσθαι ἀπ᾽ αὐτῶν, ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλοντα
to-make from them except — to-sacrifice anyone to-the goddess wishing
ἐπὶ τῷδε θηρᾶν μόνον· ἐπὶ τῷδε γὰρ οὐκ εἶναι ἀθέμιτον.
for this to-hunt only for this for not to-be unlawful
καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον 20.5
and this the island says Aristobulus that Icarus
ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος ἐπὶ τῆς νήσου τῆς Ἰκάρου
ordered to-be-called Alexander after the island — Icarus
τῆς ἐν τῷ Αἰγαίῳ πόντῳ, ἐς ἥντινα Ἴκαρον τὸν
the in the Aegean sea on which Icarus the
Δαιδάλου τακέντος τοῦ κηροῦ ὅτῳ προσήρτητο τὰ
(son)-of-Daedalus having-melted the wax by-which had-been-fastened the
πτερὰ πεσεῖν λόγος κατέχει, ὅτι οὐ κατὰ τὰς
wings to-have-fallen story holds because not according-to the
ἐντολὰς τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ μετέωρος
instructions of-the father near the earth he-was-carried but aloft
γὰρ ὑπὸ ἀνοίας πετόμενος παρέσχε τῷ ἡλίῳ θάλψαι τε
for from folly flying he-allowed to-the sun to-warm both
καὶ ἀνεῖναι τὸν κηρόν, καὶ ἀπὸ ἑαυτοῦ τὸν Ἴκαρον τῇ
and to-loosen the wax and from himself — Icarus to-the

τε νήσῳ καὶ τῷ πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν
both island and to-the sea the name to-have-left
τὴν μὲν Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον.
the-one indeed Icarus to-be-called the-other and Icarian
20.6 ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν ἀπὸ τοῦ στόματος τοῦ
the and other island to-be-distant indeed from the mouth —
Εὐφράτου ἐλέγετο ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ᾽
of-Euphrates was-said about a-voyage of-a-day and night with
οὖρον θεούσῃ νηΐ· Τύλος δὲ αὐτῇ εἶναι ὄνομα· μεγάλη
fair-wind for-a-running ship Tylus and for-it to-be name great
δὲ εἶναι καὶ οὔτε τραχεῖα ἡ πολλὴ οὔτε ὑλώδης, ἀλλ᾽
and to-be and neither rough the most nor wooded but
οἷα καρπούς τε ἡμέρους ἐκφέρειν καὶ πάντα ὡραῖα.
such-as fruits both cultivated to-produce and all seasonable
20.7 ταυτὶ ἀπηγγέλθη Ἀλεξάνδρῳ τὰ μὲν πρὸς Ἀρχίου,
these-things were-reported to-Alexander the-ones indeed by Archias
ὃς ξὺν τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκοπὴν
who with a-thirty-oared-ship having-been-sent-out for reconnaissance
τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς Ἄραβας μέχρι μὲν
of-the coasting-voyage the as toward the Arabs as-far-as indeed
τῆς νήσου τῆς Τύλου ἦλθε, τὸ πρόσω δὲ οὐκέτι
the island — Tylus came the further but no-longer
περαιωθῆναι ἐτόλμησεν· Ἀνδροσθένης δὲ ξὺν ἄλλῃ
to-cross dared Androsthenes and with another
τριακοντόρῳ σταλεὶς καὶ τῆς χερρονήσου τι τῶν
thirty-oared-ship having-been-sent also of-the peninsula some of-the
Ἀράβων παρέπλευσε· μακροτάτω δὲ τῶν ἐκπεμφθέντων
Arabs coasted farthest and of-those sent-out
προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν
advanced Hieron the Solian the helmsman having-received
καὶ οὗτος παρ᾽ Ἀλεξάνδρου τριακόντορον.
also this-one from Alexander a-thirty-oared-ship

ἦν μὲν γὰρ αὐτῷ προστεταγμένον περιπλεῦσαι τὴν 20.8
was indeed for to-him ordered to-sail-round the
χερρόνησον τὴν Ἀράβων πᾶσαν ἔστε ἐπὶ τὸν κόλπον
peninsula the of-Arabs all as-far to the gulf
τὸν πρὸς Αἰγύπτῳ τὸν Ἀράβιον τὸν καθ' Ἡρώων πόλιν·
the by Egypt the Arabian the by of-Heroes city
οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω ἐλθεῖν, καίτοι ἐπὶ τὸ
not however dared at-least the further to-go although for the
πολὺ παραπλεύσας τὴν Ἀράβων γῆν· ἀλλ' ἀναστρέψας
most having-coasted the of-Arabs land but having-turned-back
γὰρ παρ' Ἀλέξανδρον ἐξήγγειλεν τὸ μέγεθός τε τῆς
for to Alexander reported the size both of-the
χερρονήσου θαυμαστόν τι εἶναι καὶ ὅσον οὐ πολὺ
peninsula wonderful something to-be and as-much-as not much
ἀποδέον τῆς Ἰνδῶν γῆς, ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ
falling-short-of the of-Indians land cape both to-project into much
τῆς μεγάλης θαλάσσης·
of-the great sea
ἣν δὴ καὶ τοὺς σὺν Νεάρχῳ ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, 20.9
which indeed also those with Nearchus from — India sailing
πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν Περσικόν, οὐ πόρρω
before to-turn into the gulf the Persian not far
ἀνατείνουσαν ἰδεῖν τε καὶ παρ' ὀλίγον ἐλθεῖν
projecting to-have-seen both and by little to-have-come
διαβαλεῖν ἐς αὐτήν, καὶ Ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ
to-cross to it and for-Onesicritus the helmsman this-way
δοκοῦν· ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν,
seeming-good but Nearchus says that he-himself prevented
ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι
so-that having-sailed-round the gulf the Persian he-might-be-able
ἀπαγγεῖλαι Ἀλεξάνδρῳ ἐφ' οἷστισι πρὸς αὐτοῦ ἐστάλη·
to-report to-Alexander for which-things by him he-was-sent

20.10 οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι,
not for for the to-sail the great sea to-have-been-sent
ἀλλ᾽ ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ
but for the to-learn the country the adjacent to-the
θαλάσσῃ καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους
sea and the inhabiting it men anchorages
τε ἐν αὐτῇ καὶ ὕδατα καὶ τὰ νόμαια τῶν ἀνδρῶν καὶ εἴ
both in it and waters and the customs of-the men and if
τις ἀγαθὴ καρποὺς ἐκφέρειν ἢ εἴ τις κακή· καὶ οὖν καὶ
some good fruits to-produce or if some bad and then also
τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι Ἀλεξάνδρῳ τὸν στρατόν·
this cause to-have-been to-get-away-safe for-Alexander the force
οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας ὑπὲρ τῆς Ἀραβίας τὰ
not for — to-have-been-saved having-sailed beyond — Arabia the
ἔρημα, ἐφ᾽ ὅτῳ καὶ ὁ Ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται.
deserted-parts for which also — Hieron to-have-turned back is-said
21.1 ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λιμὴν
in which and for-him were-being-built indeed the triremes the harbor
δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος
and at Babylon was-being-dug he-sails-out from Babylon
κατὰ τὸν Εὐφράτην ὡς ἐπὶ τὸν Πολλακόπαν καλούμενον
down — Euphrates as toward the Pallacopas called
ποταμόν. ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον
river is-distant and this-one — from-Babylon stades about
ὀκτακοσίους, καὶ ἔστι διῶρυξ αὕτη ἐκ τοῦ Εὐφράτου,
eight-hundred and is a-canal this from — Euphrates
οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός.
not and from springs some rising river
21.2 ὁ γὰρ Εὐφράτης ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων
the for Euphrates river flowing from the Armenian
ὀρῶν χειμῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας,
mountains of-winter indeed in-the-season advances within the banks

οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος· ἦρος δὲ
as indeed not much being for-it the water in-spring and
ὑποφαίνοντος καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπάς, ἅστινας
appearing and much indeed most toward solstice which
τοῦ θέρους ὁ ἥλιος ἐπιστρέφει, μέγας τε ἐπέρχεται καὶ
of-the summer the sun turns great both comes-on and
ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Ἀσσυρίαν·
overflows over the banks into the land the Assyrian
τηνικαῦτα γὰρ αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς Ἀρμενίοις 21.3
at-that-time for the snows the on the mountains the Armenian
κατατηκόμεναι αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα. ὅτι
melting increase for-it the water to great because
δὲ ἐπιπολῆς ἐστιν αὐτῷ καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει
and on-the-surface is for-it and high the current it-overflows
ἐς τὴν χώραν, εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν
into the country if not anyone having-opened it along —
Πολλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε καὶ τὰς λίμνας,
Pallacopas into the marshes both should-divert and the lakes
αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος διήκουσιν
which indeed beginning from this the canal extend
ἔστε ἐπὶ τὴν ξυνεχῆ τῇ Ἀράβων γῇ, καὶ ἔνθεν μὲν
as-far to the continuous with-the of-Arabs land and thence indeed
ἐς τέναγος ἐπὶ πολύ, ἐκ δὲ τοῦ ἐς θάλασσαν κατὰ
into swamp for much from and that into sea through
πολλά τε καὶ ἀφανῆ στόματα ἐκδίδωσι.
many both and hidden mouths it-flows-out
τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν 21.4
having-melted and the snow about of-Pleiades most setting
ὀλίγος τε ὁ Εὐφράτης ῥέει καὶ οὐδὲν μεῖον τὸ πολὺ
little both — Euphrates flows and nothing less the most
αὐτοῦ κατὰ τὸν Πολλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας. εἰ
of-it through — Pallacopas flows-out into the lakes if

δή τις μὴ ἀποφράξειε τὸν Πολλακόπαν αὖθις, ὡς
indeed anyone not should-block — Pallacopas again so-that
κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ πόρου,
along the banks turned to-be-carried the water down channel
ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὑτόν, ὡς μηδ'
it-would-have-emptied — — Euphrates into itself so-that not-even
ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν.
to-be-irrigated from it the Assyrian land
21.5 ἀλλὰ ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν Πολλακόπαν τοῦ
but were-blocked for the into — Pallacopas —
Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας
of-Euphrates outlets by the satrap — of-Babylonia
πολλῷ πόνῳ, καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι, ὅτι
with-much toil although not with-difficulty being-opened because
ἰλυώδης τε ἡ ταύτῃ γῆ καὶ πηλὸς ἡ πολλὴ αὐτῆς,
muddy both the there land and clay the most of-it
οἵα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ μὴ εὐμαρῆ τὴν
such-as receiving the water of-the river not easy the
ἀποστροφὴν αὐτοῦ παρέχειν· ἀλλὰ καὶ ἐς τρίτον μῆνα
turning-away of-it to-provide but even into third month
Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῷδε τῷ πόνῳ
of-Assyrians men over the ten-thousand in this the toil
ξυνείχοντο. ταῦτα ἀπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον
were-occupied these-things having-been-reported induced Alexander
ὠφελῆσαί τι τὴν χώραν τὴν Ἀσσυρίαν.
to-help somewhat the country the Assyrian
21.6 ἔνθεν μὲν δὴ ἐς τὸν Πολλακόπαν ἐτρέπετο τοῦ
thence indeed indeed into — Pallacopas was-turned —
Εὐφράτου ὁ ῥοῦς, ταύτῃ δὲ ἔγνω βεβαίως ἀποκλεῖσαι
of-Euphrates the current there and he-decided firmly to-shut-off
τὴν ἐκβολήν· προελθόντι δὲ ὅσον σταδίους τριάκοντα
the outlet to-one-having-advanced and about stades thirty

ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἵα διακοπεῖσα, εἰ ξυναφὴς
rocky the land appeared such-as having-been-cut-through if joined
ἐγένετο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν Πολλακόπαν,
it-were to-the old canal the along — Pallacopas
οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος
neither — to-be-dispersed to-allow the water from hardness
τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ
of-the land the both turning-away of-it at-the appointed season
μὴ χαλεπῶς γίγνεσθαι.
not with-difficulty to-happen
τούτων ἕνεκα ἐπί τε τὸν Πολλακόπαν ἔπλευσε καὶ κατ' 21.7
of-these for-the-sake to both — Pallacopas he-sailed and down
αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας ὡς ἐπὶ τὴν Ἀράβων γῆν.
it sails-down into the lakes as toward the of-Arabs land
ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδὼν πόλιν ἐξῳκοδόμησέ
there place some in good having-seen a-city he-built
τε καὶ ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν Ἑλλήνων
both and fortified and in this settled of-the Greeks
τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἑκόντες καὶ ὅσοι
some of-the mercenaries as-many-as both willingly and as-many-as
ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν.
by age or by maiming unfit-for-war were
αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων τὴν μαντείαν, 22.1
himself and as having-refuted indeed of-the Chaldaeans the prophecy
ὅτι οὐδὲν πεπόνθοι ἐν Βαβυλῶνι ἄχαρι, καθάπερ
that nothing he-had-suffered in Babylon unpleasant as
ἐκεῖνοι ἐμαντεύσαντο, ἀλλὰ ἔφθη γὰρ ἐλάσας ἔξω
they prophesied but he-got-ahead for having-marched outside
Βαβυλῶνος πρίν τι παθεῖν, ἀνέπλει αὖθις κατὰ τὰ ἕλη
Babylon before anything to-suffer sailed-up again through the marshes
θαρρῶν, ἐν ἀριστερᾷ ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ καὶ
confident on left having — Babylon where indeed also

ἐπλανήθη αὐτῷ μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίᾳ
went-astray for-him part of-the fleet in the narrows from-lack
ἡγεμόνος, πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον
of-a-guide until at-least indeed himself having-sent the about-to-guide
ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον. λόγος δὲ λέγεται τοιόσδε.
led-back them into the channel story and is-told such
22.2 τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις
of-the kings the Assyrian the tombs in the lakes
τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι δεδομημένους. ὡς δὲ
both to-be the most and in the marshes built when and
ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη, κυβερνᾶν γὰρ αὐτὸν λόγος
sailed Alexander through the marshes to-steer for him story
τὴν τριήρη, πνεύματος μεγάλου ἐμπεσόντος αὐτῷ ἐς τὴν
the trireme wind great having-fallen-upon him on the
καυσίαν καὶ τὸ διάδημα αὐτῇ συνεχόμενον, τὴν μὲν δὴ οἷα
kausia and the diadem with-it held-together the indeed indeed as
βαρυτέραν πεσεῖν ἐς τὸ ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν
heavier to-have-fallen into the water the diadem and carried-off
πρὸς τῆς πνοῆς σχεθῆναι ἐν καλάμῳ· τὸν κάλαμον δὲ
by the blast to-have-been-caught on a-reed the reed and
τῶν ἐπιπεφυκότων εἶναι τάφῳ τινὶ τῶν πάλαι βασιλέων.
of-those growing to-be on-tomb some of-the ancient kings
22.3 τοῦτό τε οὖν αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι καὶ
this both then itself before the things-to-come to-have-signified and
ὅτι τῶν τις ναυτῶν ἐκνηξάμενος ὡς ἐπὶ τὸ διάδημα
that of-the some sailors having-swum-out as toward the diadem
ἀφελὼν τοῦ καλάμου αὐτὸ μετὰ χεῖρας μὲν οὐκ
having-taken-off from-the reed it in hands indeed not
ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο,
he-carried because swimming — he it-would-have-been-wetted
περιθεὶς δὲ τῇ κεφαλῇ τῇ αὑτοῦ οὕτω διήνεγκε.
having-put-on and on-the head the his-own so he-carried-across

καὶ οἱ μὲν πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξάνδρου 22.4
and the indeed most of-those having-recorded the-things of-Alexander
λέγουσιν ὅτι τάλαντον μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος
say that a-talent indeed gave to-him Alexander
τῆς προθυμίας ἕνεκα, ἀποτεμεῖν δὲ ἐκέλευσε τὴν κεφαλήν,
of-the eagerness for-the-sake to-cut-off and he-ordered the head
τῶν μάντεων ταύτῃ ἐξηγησαμένων, μὴ περιδεῖν σώαν
of-the seers so having-interpreted not to-allow safe
ἐκείνην τὴν κεφαλὴν ἥτις τὸ διάδημα ἐφόρησε τὸ βασίλειον·
that the head which the diadem wore the royal
Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβε λέγει αὐτόν,
Aristobulus and a-talent indeed that he-received says him
ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήματος.
but blows to-receive of-the putting-on for-the-sake of-the diadem
Ἀριστόβουλος μὲν δὴ τῶν τινα Φοινίκων τῶν ναυτῶν 22.5
Aristobulus indeed indeed of-the some Phoenicians of-the sailors
λέγει ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν, εἰσὶ
says that the diadem — to-Alexander brought there-are
δὲ οἳ Σέλευκον λέγουσιν. καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ
and who Seleucus say and this — both to-Alexander
σημῆναι τὴν τελευτὴν καὶ τῷ Σελεύκῳ τὴν βασιλείαν τὴν
to-have-signified the death and — to-Seleucus the kingship the
μεγάλην. Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον
great Seleucus for greatest of-those after Alexander
διαδεξαμένων τὴν ἀρχὴν βασιλέα γενέσθαι τήν τε
having-succeeded-to the rule king to-have-become the both
γνώμην βασιλικώτατον καὶ πλείστης γῆς ἐπάρξαι μετά
mind most-kingly and most land to-have-ruled-over after
γε αὐτὸν Ἀλέξανδρον οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.
at-least himself Alexander not to-me it-seems to-come into dispute

23.1 ἐπανελθὼν δὲ ἐς Βαβυλῶνα καταλαμβάνει Πευκέσταν
having-returned and to Babylon he-finds Peucestas
ἥκοντα ἐκ Περσῶν, ἄγοντα στρατιὰν Περσῶν ἐς
having-come from Persians leading an-army of-Persians about
δισμυρίους· ἦγε δὲ καὶ Κοσσαίων καὶ Ταπούρων οὐκ
twenty-thousand he-led and also of-Cossaeans and of-Tapurians not
ὀλίγους, ὅτι καὶ ταῦτα ἔθνη τῶν προσχώρων τῇ
few because also these peoples of-the neighboring —
Περσίδι μαχιμώτατα εἶναι ἐξηγγέλλετο. ἦκε δὲ αὐτῷ καὶ
to-Persis most-warlike to-be was-reported came and to-him also
Φιλόξενος στρατιὰν ἄγων ἀπὸ Καρίας καὶ Μένανδρος ἐκ
Philoxenus an-army leading from Caria and Menander from
Λυδίας ἄλλους καὶ Μενίδας τοὺς ἱππέας ἄγων τοὺς αὐτῷ
Lydia others and Menidas the cavalry leading the to-him
ξυνταχθέντας.
assigned

23.2 καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ τῆς Ἑλλάδος ἦκον, καὶ
and embassies and in this from — Greece came and
τούτων οἱ πρέσβεις αὐτοί τε ἐστεφανωμένοι Ἀλεξάνδρῳ
of-these the envoys themselves both garlanded to-Alexander
προσῆλθον καὶ ἐστεφάνουν αὐτὸν στεφάνοις χρυσοῖς, ὡς
approached and crowned him with-crowns golden as
θεωροὶ δῆθεν ἐς τιμὴν θεοῦ ἀφιγμένοι. τῷ δὲ οὐ
sacred-envoys forsooth for honor of-a-god having-arrived for-him but not
πόρρω ἄρα ἡ τελευτὴ ἦν.
far then the end was

23.3 ἔνθα δὴ τούς τε Πέρσας ἐπαινέσας τῆς προθυμίας, ὅτι
there indeed the both Persians having-praised for-the eagerness because
πάντα Πευκέστᾳ ἐπείθοντο, καὶ αὐτὸν Πευκέσταν τῆς
in-all-things Peucestas they-obeyed and himself Peucestas for-the
ἐν κόσμῳ αὐτῶν ἐξηγήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς
in order of-them leadership he-enrolled them into the

Μακεδονικὰς τάξεις, δεκαδάρχην μὲν τῆς δεκάδος ἡγεῖσθαι
Macedonian battalions file-leader indeed of-the file to-lead
Μακεδόνα καὶ ἐπὶ τούτῳ διμοιρίτην Μακεδόνα καὶ
a-Macedonian and after this a-double-pay-man Macedonian and
δεκαστάτηρον, οὕτως ὀνομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς,
a-ten-stater-man so named from the pay
ἥντινα μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν
which less indeed than-the double-pay-man more but than-those
οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν·
not in honor serving he-received
ἐπὶ τούτοις δὲ δώδεκα Πέρσας καὶ τελευταῖον τῆς 23.4
after these and twelve Persians and last of-the
δεκάδος Μακεδόνα, δεκαστάτηρον καὶ τοῦτον, ὥστε ἐν τῇ
file a-Macedonian ten-stater-man also this-one so-that in the
δεκάδι τέσσαρας μὲν εἶναι Μακεδόνας, τοὺς μὲν τῇ
file four indeed to-be Macedonians the-ones indeed in-the
μισθοφορᾷ προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκάδος,
pay excelling the-one and in-the command of-the file
δώδεκα δὲ Πέρσας, τοὺς μὲν Μακεδόνας τὴν πάτριον
twelve and Persians the indeed Macedonians the ancestral
ὅπλισιν ὡπλισμένους, τοὺς δὲ Πέρσας τοὺς μὲν τοξότας,
armor armed the and Persians the-ones indeed archers
τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας.
the-others and also thonged-javelins having
ἐν τούτῳ δὲ πολλάκις μὲν τοῦ ναυτικοῦ ἀπεπειρᾶτο, 23.5
in this and often indeed the fleet he-tested
πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν τριήρων καὶ ὅσαι τετρήρεις
many and contests for-him of-the triremes and as-many-as quadriremes
κατὰ τὸν ποταμὸν ἐγίγνοντο, καὶ ἀγῶνες τῶν τε ἐρετῶν
on the river took-place and competitions of-the both rowers
καὶ τῶν κυβερνητῶν καὶ στέφανοι τῶν νικώντων.
and of-the helmsmen and crowns for-the victors

23.6 ἦκον δὲ καὶ παρὰ Ἄμμωνος οἱ θεωροὶ οὕστινας ἐστάλκει
came and also from Ammon the sacred-envoys whom he-had-sent
ἐρησομένους ὅπως θέμις αὐτῷ τιμᾶν Ἡφαιστίωνα· οἱ δὲ ὡς
about-to-ask how lawful for-him to-honor Hephaestion they and as
ἥρωϊ ἔφησαν ὅτι θύειν θέμις ὁ Ἄμμων λέγει. ὁ δὲ ἔχαιρέ
to-a-hero said that to-sacrifice lawful — Ammon says he and rejoiced
τε τῇ μαντείᾳ καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε. καὶ
both at-the oracle and the from this-time as a-hero honored and
Κλεομένει, ἀνδρὶ κακῷ καὶ πολλὰ ἀδικήματα ἀδικήσαντι ἐν
to-Cleomenes a-man bad and many wrongs having-done in
Αἰγύπτῳ, ἐπιστέλλει ἐπιστολήν. καὶ ταύτην τῆς μὲν ἐς
Egypt he-sends a-letter and this for-the indeed toward
Ἡφαιστίωνα καὶ ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης
Hephaestion even having-died friendship for-the-sake and memory
οὐ μέμφομαι ἔγωγε, ἄλλων δὲ πολλῶν ἕνεκα μέμφομαι.
not I-blame I-at-least of-other but many-things for-the-sake I-blame
23.7 ἔλεγε γὰρ ἡ ἐπιστολὴ κατασκευασθῆναι Ἡφαιστίωνι
said for the letter to-be-built for-Hephaestion
ἡρῷον ἐν Ἀλεξανδρείᾳ τῇ Αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ
a-hero-shrine in Alexandria the Egyptian in both the city itself
καὶ ἐν τῇ νήσῳ τῇ Φάρῳ, ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ
and in the island — Pharos where the tower is the on the
νήσῳ, μεγέθει τε μέγιστον καὶ πολυτελείᾳ ἐκπρεπέστατον,
island in-size both greatest and in-costliness most-splendid
καὶ ὅπως ἐπικρατήσῃ ἐπικαλεῖσθαι ἀπὸ Ἡφαιστίωνος,
and that it-should-prevail to-be-named after Hephaestion
καὶ τοῖς συμβολαίοις καθ' ὅσα οἱ ἔμποροι ἀλλήλοις
and in-the contracts in which the merchants with-one-another
ξυμβάλλουσιν ἐγγράφεσθαι τὸ ὄνομα Ἡφαιστίωνος.
make-contracts to-be-written-in the name of-Hephaestion

ταῦτα μὲν οὐκ ἔχω μέμψασθαι, πλήν γε δὴ ὅτι οὐκ 23.8
these-things indeed not I-can to-blame except at-least indeed that not
ἐπὶ μεγάλοις μεγάλως διεσπουδάζετο. ἐκεῖνα δὲ καὶ πάνυ
on great-things greatly he-was-zealous those-things but even very
μέμφομαι. ἢν γὰρ καταλάβω ἐγώ, ἔλεγε τὰ γράμματα, τὰ
I-blame if for I-find I he-said the letters the
ἱερὰ τὰ ἐν Αἰγύπτῳ καλῶς κατεσκευασμένα καὶ τὰ ἡρῷα
temples the in Egypt well built and the hero-shrines
τὰ Ἡφαιστίωνος, εἴ τέ τι πρότερον ἡμάρτηκας,
the of-Hephaestion if both anything before you-have-done-wrong
ἀφήσω σε τούτου, καὶ τὸ λοιπόν, ὁπηλίκον ἂν ἁμάρτῃς,
I-will-release you from-this and the future however-great — you-do-wrong
οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι. τοῦτο ἀνδρὶ ἄρχοντι πολλῆς
nothing you-will-suffer from me unpleasant this to-a-man ruling much
μὲν χώρας, πολλῶν δὲ ἀνθρώπων ἐκ βασιλέως μεγάλου
indeed country many and men from king great
ἐπεσταλμένον, ἄλλως τε καὶ κακῷ ἀνδρί, οὐκ ἔχω ἐπαινέσαι.
sent especially both and to-a-bad man not I-can to-praise

Aristobulus tells of omens: a stranger sits on the empty throne and is tortured. After feasting through the night with Medius, Alexander falls ill of a fever. The royal journals give the days: bathing, sacrifice, orders for the voyage to the officers, fever by night, until he can no longer speak. The soldiers force their way in to see him, and he greets each with his head and eyes. Companions sleeping in the temple of Sarapis are told not to move him, and he dies soon after. Some say that, asked to whom he left his kingdom, he answered: to the strongest, and others that he foresaw great funeral games over himself.

24.1 ἀλλὰ γὰρ αὐτῷ ἤδη Ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. καί
but for to-him already Alexander near was the end and
τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων σημῆναι λέγει
something also such before the things-to-come to-have-signified says
Ἀριστόβουλος· καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν
Aristobulus to-be-enrolling indeed him the army the
σὺν Πευκέστᾳ τε ἐκ Περσῶν καὶ ἀπὸ θαλάσσης ξὺν
with Peucestas both from Persians and from sea with
Φιλοξένῳ καὶ Μενάνδρῳ ἥκουσαν ἐς τὰς Μακεδονικὰς
Philoxenus and Menander having-come into the Macedonian
τάξεις· διψήσαντα δὲ ἀποχωρῆσαι ἐκ τῆς ἕδρας
battalions having-become-thirsty and to-have-withdrawn from the seat
καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον.
having-left empty the throne the royal

24.2 εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ' ὧν
to-be and couches on-either-side of-the throne silver-footed on which
οἱ ἀμφ' αὐτὸν ἑταῖροι ἐκάθηντο. τῶν τινα οὖν ἠμεληκότων
the around him companions sat of-the some then neglected
ἀνθρώπων, οἱ δὲ καὶ τῶν ἐν φυλακῇ ἀδέσμῳ ὄντα
men some and even of-those in custody unbound being
λέγουσιν, ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῷ
say empty having-seen the throne and the couches around the

θρόνῳ δὲ ἑστηκότας τοὺς εὐνούχους, καὶ γὰρ καὶ οἱ ἑταῖροι
throne and standing the eunuchs and for also the companions
ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι, διελθόντα διὰ
had-risen-with the king withdrawing having-gone-through among
τῶν εὐνούχων ἀναβῆναί τε ἐπὶ τὸν θρόνον καὶ καθέζεσθαι.
the eunuchs to-have-gone-up both onto the throne and to-sit-down
τοὺς δὲ οὐκ ἀναστῆσαι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ 24.3
them and not to-have-made-get-up indeed him from the throne according-to
δή τινα νόμον Περσικόν, περιρρηξαμένους δὲ τύπτεσθαι τά
indeed some custom Persian having-torn-their-clothes and to-beat the
τε στήθη καὶ τὰ πρόσωπα ὡς ἐπὶ μεγάλῳ κακῷ. ταῦτα
both breasts and the faces as at great evil these-things
ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν
when was-reported to-Alexander to-have-ordered to-be-tortured the
καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο
having-sat whether-perhaps from plot arranged this
ἔδρασε γνῶναι ἐθέλοντα. τὸν δὲ οὐδὲν ἄλλο κατειπεῖν ὅτι μὴ
he-did to-learn wishing he and nothing other to-have-said except —
ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι· ᾗ δὴ καὶ μᾶλλον
into mind to-him having-come so to-act by-which indeed also more
ἐπ᾽ οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο.
for no good to-happen to-him the seers interpreted
ἡμέραι τε οὐ πολλαὶ ἐπὶ τούτῳ ἐγένοντο καὶ τεθυκὼς 24.4
days both not many after this passed and having-sacrificed
τοῖς θεοῖς τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς
to-the gods the both customary sacrifices for events good
καί τινας καὶ ἐκ μαντείας εὐωχεῖτο ἅμα τοῖς φίλοις
and some also from prophecy he-feasted together-with the friends
καὶ ἔπινε πόρρω τῶν νυκτῶν. δοῦναι δὲ λέγεται καὶ
and drank far-into the nights to-have-given and is-said also
τῇ στρατιᾷ ἱερεῖα καὶ οἶνον κατὰ λόχους καὶ ἑκατοστύας.
to-the army victims and wine by companies and hundreds

ἀπὸ δὲ τοῦ πότου αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ
from and the drinking him indeed to-depart to-wish to
κοιτῶνα εἰσὶν οἳ ἀνέγραψαν· Μήδιον δὲ αὐτῷ ἐντυχόντα,
bedchamber there-are who recorded Medius and him having-met
τῶν ἑταίρων ἐν τῷ τότε τὸν πιθανώτατον, δεηθῆναι
of-the companions in the then-(time) the most-trusted to-have-begged
κωμάσαι παρὰ οἷ· γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον.
to-revel with him to-be for — pleasant the revel
25.1 καὶ αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσιν· πίνειν παρὰ
and the royal journals thus run to-drink with
Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ
Medius him having-reveled then having-risen and
λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ
having-bathed to-sleep both and again to-dine with Medius
καὶ αὖθις πίνειν πόρρω τῶν νυκτῶν· ἀπαλλαχθέντα δὲ
and again to-drink far-into the nights having-left and
τοῦ πότου λούσασθαι· καὶ λουσάμενον ὀλίγον τι
the drinking to-have-bathed and having-bathed a-little something
ἐμφαγεῖν καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν.
to-eat and to-sleep there because already he-was-feverish
25.2 ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι ὡς
having-been-carried-out and on a-couch to the sacrifices to-sacrifice as
νόμος ἐφ' ἑκάστῃ ἡμέρᾳ, καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι
custom on each day and the sacrifices having-put-on to-lie
ἐν τῷ ἀνδρῶνι ἔστε ἐπὶ κνέφας. ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι
in the men's-hall until toward dusk in this and to-the officers
παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν ὡς
to-give-orders about the march and the voyage the-ones indeed as
πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς
by-land going to-get-ready for fourth day the-others
δὲ ἅμα οἱ πλέοντας ὡς εἰς πέμπτην πλευσουμένους.
and together-with him sailing as for fifth about-to-sail

ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ τῆς κλίνης ὡς ἐπὶ τὸν 25.3
thence and to-have-been-carried-down on the couch as to the
ποταμόν, καὶ πλοίου ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ
river and a-boat having-boarded to-have-sailed-across beyond the
ποταμοῦ ἐς τὸν παράδεισον, κἀκεῖ αὖθις λουσάμενον
river into the park and-there again having-bathed
ἀναπαύεσθαι. ἐς δὲ τὴν ὑστεραίαν λούσασθαί τε αὖθις καὶ
to-rest on and the next-day to-have-bathed both again and
θῦσαι τὰ νομιζόμενα· καὶ εἰς τὴν καμάραν εἰσελθόντα
to-sacrifice the customary and into the vaulted-room having-entered
κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον· παραγγεῖλαι
to-lie telling-stories to Medius to-have-ordered
δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἕωθεν. ταῦτα πράξαντα
and also the officers to-meet at-dawn these-things having-done
δειπνῆσαι ὀλίγον·
to-have-dined a-little
κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν πυρέσσειν ἤδη 25.4
having-been-carried and again into the vaulted-room to-be-feverish already
ξυνεχῶς τὴν νύκτα ὅλην· τῇ δὲ ὑστεραίᾳ λούσασθαι καὶ
continuously the night whole on-the and next-day to-have-bathed and
λουσάμενον θῦσαι. Νεάρχῳ δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι
having-bathed to-sacrifice to-Nearchus and also the other officers
παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν ὅπως ἔσται ἐς τρίτην
to-have-given-orders the-things about the voyage how it-will-be for third
ἡμέραν. τῇ δὲ ὑστεραίᾳ λούσασθαι αὖθις καὶ θῦσαι
day on-the and next-day to-have-bathed again and to-sacrifice
τὰ τεταγμένα, καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἐλινύειν
the appointed and the sacrifices having-put-on no-longer to-rest
πυρέσσοντα. ἀλλὰ καὶ ὡς τοὺς ἡγεμόνας εἰσκαλέσαντα
being-feverish but even so the officers having-called-in
παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῷ ἔσται
to-give-orders the-things for the sailing that for-him will-be

ἕτοιμα· λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον
ready to-have-bathed both at the evening and having-bathed
ἔχειν ἤδη κακῶς.
to-be already badly

25.5 τῇ δὲ ὑστεραίᾳ μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς
on-the and next-day to-have-been-moved into the house the by
τῇ κολυμβήθρᾳ καὶ θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα
the swimming-pool and to-sacrifice indeed the appointed being
δὲ πονήρως ὅμως ἐσκαλέσαι τῶν ἡγεμόνων τοὺς
and badly nevertheless to-have-called-in of-the officers the
ἐπικαιριωτάτους καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν.
most-important and about the voyage again to-give-orders
τῇ δ' ἐπιούσῃ μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ
on-the and following with-difficulty to-have-been-carried-out to the sacrifices
καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ
and to-sacrifice and nothing less still to-give-orders about the
πλοῦ τοῖς ἡγεμόσιν.
voyage to-the officers

25.6 ἐς δὲ τὴν ὑστεραίαν κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ
on and the next-day badly already being nevertheless to-sacrifice the
τεταγμένα. παραγγεῖλαι δὲ τοὺς μὲν στρατηγοὺς διατρίβειν
appointed to-have-ordered and the indeed generals to-stay
κατὰ τὴν αὐλήν, χιλιάρχας δὲ καὶ πεντακοσιάρχας
in the courtyard chiliarchs and and commanders-of-five-hundred
πρὸ τῶν θυρῶν. ἤδη δὲ παντάπασι πονήρως ἔχοντα
before the doors already and altogether badly being
διακομισθῆναι ἐκ τοῦ παραδείσου ἐς τὰ βασίλεια.
to-have-been-carried-across from the park into the palace
εἰσελθόντων δὲ τῶν ἡγεμόνων γνῶναι μὲν αὐτούς,
having-entered and the officers to-have-recognized indeed them
φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλὰ εἶναι ἄναυδον· καὶ τὴν
to-have-spoken but nothing any-longer but to-be speechless and the

νύκτα πυρέσσειν κακῶς καὶ τὴν ἡμέραν, καὶ τὴν ἄλλην
night to-be-feverish badly and the day and the next
νύκτα καὶ τὴν ἡμέραν.
night and the day
οὕτως ἐν ταῖς ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται, 26.1
so in the journals the royal it-has-been-recorded
καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν,
and besides these that the soldiers longed to-see him
οἱ μέν, ὡς ζῶντα ἔτι ἴδοιεν, οἱ δέ, ὅτι
the-ones indeed so-that alive still they-might-see the-others and because
τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ
to-have-died already it-was-reported to-be-concealed and his
ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς
they-guessed by the bodyguards the death as
ἔγωγε δοκῶ· τοὺς πολλοὺς δὲ ὑπὸ πένθους καὶ πόθου
I-at-least think the most and from grief and longing
τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. τὸν δὲ
for-the king to-have-forced to-see Alexander him and
ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς,
speechless indeed to-be they-say passing-by the army
δεξιοῦσθαι δὲ ὡς ἑκάστους τήν τε κεφαλὴν ἐπαίροντα
to-greet but as each the both head raising
μόγις καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα.
with-difficulty and with-the-two eyes signing
λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειοι ἐν τοῦ Σαράπιδος 26.2
say and the journals the royal in — of-Sarapis
τῷ ἱερῷ Πείθωνά τε ἐγκοιμηθέντα καὶ Ἄτταλον καὶ
the temple Peithon both having-slept-in and Attalus and
Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ
Demophon and Peucestas besides and Cleomenes both and
Μενίδαν καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῷον καὶ
Menidas and Seleucus to-ask the god if better and

ἄμεινον Ἀλεξάνδρῳ εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα
preferable for-Alexander into the temple of-the god having-been-carried
καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι
and having-supplicated to-be-tended by the god and to-have-come
φήμην τινὰ ἐκ τοῦ θεοῦ μὴ κομίζεσθαι εἰς τὸ ἱερόν,
utterance some from the god not to-be-carried into the temple
ἀλλὰ αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον.
but there for-(him)-remaining to-be-going-to-be better

26.3 ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους καὶ Ἀλέξανδρον οὐ
these-things both to-have-reported the companions and Alexander not
πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ
much later to-have-died as this then already being the
ἄμεινον. οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε
better not far and from-these neither by-Aristobulus nor
Πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν,
by-Ptolemy has-been-recorded some and also these-things recorded
ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτὸν ὅτῳ τὴν βασιλείαν
to-have-asked indeed the companions him to-whom the kingship
ἀπολείπει, τὸν δὲ ὑποκρίνασθαι ὅτι τῷ κρατίστῳ· οἱ
he-leaves him and to-have-answered that to-the strongest others
δέ, προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ ὅτι μέγαν ἐπιτάφιον
and to-have-added to this the word that great funeral
ἀγῶνα ὁρᾷ ἐφ' αὑτῷ ἐσόμενον.
contest he-sees over himself about-to-be

Arrian records, rather than credits, the tales of poison sent by Antipater and of Alexander trying to vanish into the Euphrates so that men would think him a god. Alexander died in his thirty-third year after reigning twelve years and eight months, handsome, tireless, brave, ambitious, pious, a master of war, and generous with money. His faults came from youth, success, and flatterers, and he alone of ancient kings repented of his wrongs. His claim to divine birth was perhaps a device, and his Persian dress was policy. Whoever blames him should compare himself, and Arrian, though he has censured some of his deeds, is not ashamed to admire a man born, he thinks, not without the divine.

πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς 27.1
many and also other-things I-know recorded about the
Ἀλεξάνδρου τελευτῆς, καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ
of-Alexander death and poison that was-sent from
Ἀντιπάτρου Ἀλεξάνδρῳ καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανε·
Antipater to-Alexander and from the poison that he-died
καὶ τὸ φάρμακον ὅτι Ἀριστοτέλης μὲν Ἀντιπάτρῳ
and the poison that Aristotle indeed for-Antipater
ἐξεῦρε δεδοικὼς ἤδη Ἀλέξανδρον Καλλισθένους ἕνεκα,
found-out fearing already Alexander of-Callisthenes for-the-sake
Κάσανδρος δὲ ὁ Ἀντιπάτρου ἐκόμισεν· οἱ δὲ καὶ ὅτι ἐν
Cassander and the (son)-of-Antipater brought some and also that in
ἡμιόνου ὁπλῇ ἐκόμισε καὶ τοῦτο ἀνέγραψαν. δοῦναι δὲ
a-mule's hoof he-brought also this recorded to-have-given and
αὐτὸ Ἰόλλαν τὸν ἀδελφὸν τὸν Κασάνδρου τὸν νεώτερον·
it Iollas the brother the of-Cassander the younger
εἶναι γὰρ οἰνοχόον βασιλικὸν τὸν Ἰόλλαν καί τι 27.2
to-be for cupbearer royal — Iollas and something
καὶ λελυπῆσθαι πρὸς Ἀλεξάνδρου ὀλίγῳ πρόσθεν τῆς
also to-have-been-aggrieved by Alexander a-little before the

τελευτῆς· οἱ δὲ καὶ Μήδιον μετασχεῖν τοῦ ἔργου,
death some and also Medius to-have-shared-in the deed
ἐραστὴν ὄντα τοῦ Ἰόλλα· καὶ αὐτὸν γὰρ εἶναι τὸν
lover being — of-Iollas and himself for to-be the
εἰσηγητὴν γενόμενον Ἀλεξάνδρῳ τοῦ κώμου· ὀδύνην τε
proposer having-become to-Alexander of-the revel pain both
αὐτῷ ἐπὶ τῇ κύλικι γενέσθαι ὀξεῖαν, καὶ ἐπὶ τῇ ὀδύνῃ
to-him over the cup to-have-come sharp and at the pain
ἀπαλλαγῆναι ἐκ τοῦ πότου.
to-have-departed from the drinking

27.3 ἤδη δέ τις οὐκ ᾐσχύνθη ἀναγράψαι ὅτι αἰσθόμενος
already and someone not was-ashamed to-record that having-perceived
οὐ βιώσιμον ὄντα αὑτὸν Ἀλέξανδρος ἐς τὸν Εὐφράτην
not likely-to-live being himself Alexander into the Euphrates
ποταμὸν ᾔει ἐμβαλῶν, ὡς ἀφανὴς ἐξ ἀνθρώπων
river went to-throw-himself so-that vanished from men
γενόμενος πιστοτέραν τὴν δόξαν παρὰ τοῖς ἔπειτα
having-become more-credible the belief among those later
ἐγκαταλείποι ὅτι ἐκ θεοῦ τε αὐτῷ ἡ γένεσις ξυνέβη καὶ
he-might-leave that from a-god both for-him the birth happened and
παρὰ θεοὺς ἡ ἀποχώρησις. Ῥωξάνην δὲ τὴν γυναῖκα οὐ
to gods the departure Roxane and the wife not
λαθεῖν ἐξιόντα, ἀλλὰ εἰργόμενον γὰρ πρὸς αὐτῆς
to-have-escaped-the-notice going-out but being-prevented for by her
ἐποιμώξαντα εἰπεῖν ὅτι ἐφθόνησεν ἄρα αὐτῷ δόξης τῆς
having-groaned to-have-said that she-begrudged then him glory the
ἐς ἅπαν, ὡς θεῷ δὴ γεγενημένῳ. καὶ ταῦτα ἐμοὶ
for ever as for-a-god indeed having-been-born and these-things by-me
ὡς μὴ ἀγνοεῖν δόξαιμι μᾶλλον ὅτι λεγόμενά ἐστιν
so-that not to-be-ignorant I-might-seem rather that said are
ἢ ὡς πιστὰ ἐς ἀφήγησιν ἀναγεγράφθω.
than as credible for narrative let-have-been-recorded

ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ 28.1
died indeed indeed Alexander in-the fourth and tenth
καὶ ἑκατοστῇ Ὀλυμπιάδι ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν·
and hundredth Olympiad under Hegesias archon at-Athens
ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας
lived and two and thirty years and of-the third months
ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος· ἐβασίλευσε δὲ
he-reached eight as says Aristobulus reigned and
δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ τούτους μῆνας, τό τε σῶμα
twelve years and the eight these months in-the both body
κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος γενόμενος
most-handsome and most-industrious and keenest having-become
καὶ τὴν γνώμην ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ
and in-the mind most-courageous and most-ambitious and
φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος·
most-danger-loving and of-the divine most-careful
ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν 28.2
of-pleasures and of-those indeed of-the body most-self-controlled of-those
δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος· ξυνιδεῖν δὲ
and of-the mind of-praise only most-insatiable to-discern and
τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν
the needful still in the unseen being most-clever and from the
φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι
apparent the likely to-infer most-successful and to-marshal
στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ
an-army and to-arm both and to-equip most-skilled and
τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν
the spirit in-the soldiers to-raise and with-hopes good
ἐμπλῆσαι καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ
to-fill and the fear in the dangers by-the fearlessness the
αὐτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος.
his-own to-dispel all these-things most-noble

28.3 καὶ οὖν καὶ ὅσα ἐν τῷ ἐμφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ
and then also as-many-as in the open to-do with greatest
θάρσει ἔπραξεν, ὅσα τε φθάσας ὑφαρπάσαι
boldness he-did as-many-as both having-anticipated to-snatch
τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς
from-the enemy before even to-fear anyone them as
ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα
about-to-happen to-seize most-clever and the indeed agreed
ἢ ὁμολογηθέντα φυλάξαι βεβαιότατος, πρὸς δὲ τῶν
or covenanted to-keep most-firm by but those
ἐξαπατώντων μὴ ἁλῶναι ἀσφαλέστατος, χρημάτων τε
deceiving not to-be-caught most-safe of-money both
ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ φειδωλότατος, ἐς δὲ εὐποιΐαν
for indeed pleasures the his-own most-sparing for but benefaction
τῶν πέλας ἀφθονώτατος.
of-the neighbors most-unstinting

29.1 εἰ δέ τι ἐπλημμελήθη Ἀλεξάνδρῳ δι' ὀξύτητα ἢ ὑπ'
if but anything was-done-amiss by-Alexander because-of sharpness or from
ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι,
anger or if something to the more-arrogant he-was-led to-barbarize
οὐ μεγάλα τίθεμαι ἔγωγε, εἰ τὴν νεότητά τέ τις τὴν
not great-things I-consider I-at-least if the youth both anyone the
Ἀλεξάνδρου μὴ ἀνεπιεικῶς ἐνθυμηθείη καὶ τὸ διηνεκὲς τῆς
of-Alexander not unreasonably should-consider and the continuity of-the
εὐτυχίας καὶ τοὺς πρὸς ἡδονήν, οὐκ ἐπὶ τῷ βελτίστῳ, τοῖς
good-fortune and those for pleasure not for the best to-the
βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομένους· ἀλλὰ
kings associating both and for evil about-to-associate but
μεταγνῶναί γε ἐφ' οἷς ἐπλημμέλησε μόνῳ οἶδα τῶν
to-have-repented at-least for what he-did-amiss alone I-know of-the
πάλαι βασιλέων Ἀλεξάνδρῳ ὑπάρξαι ὑπὸ γενναιότητος.
ancient kings for-Alexander to-have-belonged from nobility

οἱ δὲ πολλοί, εἰ καί τι ἔγνωσαν πλημμελήσαντες, 29.2
the but most if even something they-recognized having-done-amiss
οἱ δὲ τῷ προηγορεῖν αὐτοῦ, ὡς καλῶς δὴ πραχθέντος,
they and by-the defending it as well indeed done
ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γιγνώσκοντες.
to-be-going-to-conceal think the error badly judging
μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας ὁμολογεῖν τε
alone for to-me seems cure of-error to-confess both
ἁμαρτόντα καὶ δῆλον εἶναι ἐπ᾽ αὐτῷ μεταγιγνώσκοντα,
having-erred and plain to-be at it repenting
ὡς τοῖς τε παθοῦσί τι ἄχαρι οὐ πάντῃ χαλεπὰ
so-that to-those both having-suffered something unpleasant not wholly grievous
τὰ παθήματα φαινόμενα, εἰ ὁ δράσας αὐτὰ ξυγχωροίη ὅτι
the sufferings appearing if the having-done them should-admit that
οὐ καλὰ ἔδρασεν, αὐτῷ τέ τινι ἐς τὸ μέλλον ταύτην
not well he-did for-himself both someone for the future this
ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε ἂν παραπλήσιόν
hope good being-left not ever — like
τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος
anything to-err if at-the before wrongs being-vexed
φαίνοιτο.
he-should-appear
ὅτι δὲ ἐς θεὸν τὴν γένεσιν τὴν αὑτοῦ ἀνέφερεν, οὐδὲ 29.3
that and to god the birth the his-own he-referred not-even
τοῦτο ἐμοὶ δοκεῖ μέγα εἶναι αὐτῷ τὸ πλημμέλημα, εἰ
this to-me seems great to-be for-him the fault if
μὴ καὶ σόφισμα ἦν τυχὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ
not even a-device it-was perhaps for the subjects of-the majesty
ἕνεκα. οὔκουν δοκεῖ ἔμοιγε ἢ Μίνως γενέσθαι
for-the-sake not-therefore seems to-me either than-Minos to-have-become
βασιλεὺς ἀφανέστερος ἢ Αἰακοῦ ἢ Ῥαδαμάνθυος, οἷς
king more-obscure or than-Aeacus or than-Rhadamanthys for-whom

δὴ ἐς Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι
indeed to Zeus having-been-referred the birth by the ancient
ἀνθρώπων οὐδεμιᾷ αὐτῶν ὕβρει προστίθεται, οὐδὲ Θησέως
men to-no of-them outrage is-attributed nor of-Theseus
τοῦ Ποσειδῶνος οὐδὲ Ἴωνος τοῦ Ἀπόλλωνος.
the (son)-of-Poseidon nor of-Ion the (son)-of-Apollo
29.4 ὡς ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα δοκεῖ εἶναι
as to-me also the Persian dress a-device seems to-be
πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντῃ ἀλλότριον
toward both the barbarians so-that not wholly foreign
αὐτῶν φαίνεσθαι τὸν βασιλέα, καὶ πρὸς τοὺς Μακεδόνας,
to-them to-appear the king and toward the Macedonians
ὡς ἀποστροφήν τινα εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός
so-that a-refuge some to-be for-him from the sharpness
τε καὶ ὕβρεως τῆς Μακεδονικῆς· ἐφ' ὅτῳ δὴ καὶ
both and insolence the Macedonian for which indeed also
ἐγκαταμῖξαί μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας
to-have-mixed-in to-me he-seems into-the ranks of-them the Persians
τοὺς μηλοφόρους καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. καὶ
the apple-bearers and into-the agemas the Peers and
οἱ πότοι δέ, ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου
the drinking-bouts and as says Aristobulus not of-the wine
ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο, οὐ γὰρ πίνειν πολὺν οἶνον
for-the-sake long for-him were not for to-drink much wine
Ἀλέξανδρον, ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους.
Alexander but of-friendliness the toward the companions
30.1 ὅστις δὲ κακίζει Ἀλέξανδρον, μὴ μόνον ὅσα ἄξια
whoever and reviles Alexander not only as-many-as worthy
κακίζεσθαί ἐστι προφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα
to-be-reviled is bringing-forward let-him-revile but all
τὰ Ἀλεξάνδρου εἰς ἓν χωρίον ξυναγαγὼν οὕτω δὴ
the of-Alexander into one place having-gathered so indeed

ἐκλογιζέσθω ὅστις τε ὢν αὐτὸς καὶ ὁποίᾳ τύχῃ κεχρημένος
let-him-reckon who both being himself and with-what fortune having-had
ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας τῆς
what-kind having-become that-one and to how-great of-good-fortune the
ἀνθρωπίνης ἐλθόντα βασιλέα τε ἀμφοῖν τοῖν ἠπείροιν
human having-come king both of-both the continents
ἀναμφιλογώτατα γενόμενον καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ
most-indisputably having-become and to everything having-reached by-the
αὐτοῦ ὀνόματι κακίζει, σμικρότερός τε ὢν αὐτὸς καὶ ἐπὶ
his-own name be-reviles smaller both being himself and over
σμικροῖς πονούμενος καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος.
small-things toiling and not-even these in order setting
ὡς ἔγωγε δοκῶ ὅτι οὔτε τι ἔθνος ἀνθρώπων οὔτε τις 30.2
as I-at-least think that neither any people of-men nor any
πόλις ἐν τῷ τότε ἦν οὔτε τις εἷς ἄνθρωπος εἰς ὃν
city in the then-(time) was nor any single man to whom
οὐ πεφοιτήκει τὸ Ἀλεξάνδρου ὄνομα. οὔκουν οὐδὲ ἐμοὶ
not had-come the of-Alexander name not-therefore even to-me
ἔξω τοῦ θείου φῦναι ἂν δοκεῖ ἀνὴρ οὐδενὶ ἄλλῳ
outside of-the divine to-have-been-born — seems a-man to-no other
ἀνθρώπων ἐοικώς. καὶ ταῦτα χρησμοί τε ἐπισημῆναι ἐπὶ
of-men like and these-things oracles both to-have-signified at
τῇ τελευτῇ τῇ Ἀλεξάνδρου λέγονται καὶ φάσματα ἄλλα
the death the of-Alexander are-said and apparitions other
ἄλλοις γενόμενα καὶ ἐνύπνια φανέντα ἄλλα ἄλλοις καὶ ἡ
to-others happening and dreams appearing other to-others and the
ἐς τοῦτο ἐξ ἀνθρώπων τιμή τε αὐτοῦ καὶ μνήμη οὐκ
up-to this from men honor both his and memory not
ἀνθρωπίνη οὖσα, καὶ νῦν δὲ διὰ τοσούτου ἄλλοι χρησμοὶ
human being also now and through so-long other oracles
ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ ἔθνει τῷ Μακεδόνων χρησθέντες.
for the honor of-him to-the people the of-Macedonians having-been-given

30.3 ἐπεὶ καὶ αὐτὸς ἐμεμψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ
since also myself I-blamed there-are which in this history
τῶν Ἀλεξάνδρου ἔργων, ἀλλὰ αὐτόν γε Ἀλέξανδρον
of-the of-Alexander deeds but himself at-least Alexander
οὐκ αἰσχύνομαι θαυμάζων· τὰ δὲ ἔργα ἐκεῖνα ἐκάκισα
not I-am-ashamed admiring the and deeds those I-reviled
ἀληθείας τε ἕνεκα τῆς ἐμῆς καὶ ἅμα ὠφελείας
of-truth both for-the-sake the my and at-the-same-time of-benefit
τῆς ἐς ἀνθρώπους· ἐφ᾽ ὅτῳ ὡρμήθην οὐδὲ αὐτὸς ἄνευ
the for men for which I-set-out not-even myself without
θεοῦ ἐς τήνδε τὴν ξυγγραφήν.
god to this the history

ARRIAN

ΙΝΔΙΚΗ

Indica

Arrian describes India from the Indus to the east. West of the river live the Astaceni and Assaceni, and the Nysaeans, said to descend from Dionysus' Greeks. The Taurus range bounds India on the north, and the sea on the south and east; the Indus forms a delta like the Nile's. Arrian follows Eratosthenes' figures for its size, and Megasthenes' list of the great rivers that join the Ganges and the Indus, larger than the Nile and the Danube. Megasthenes says India never invaded others nor was invaded before Alexander, except in story by Dionysus and Heracles, whose relics Arrian doubts. India's summer rains, crocodiles, and dark peoples resemble Ethiopia's.

τὰ ἔξω τοῦ Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε 1.1
the-parts beyond the Indus river the toward west as-far
ἐπὶ ποταμὸν Κωφῆνα Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα
to river Cophen Astacenians and Assacenians peoples
Ἰνδικά, ἐποικέουσιν.
Indian inhabit

ἀλλὰ οὔτε μεγάλοι τὰ σώματα, κατάπερ οἱ ἐντὸς τοῦ 1.2
but neither great the bodies as those within —
Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν θυμὸν οὐδὲ
Indus settled nor good likewise the spirit nor
μέλανες ὡσαύτως τοῖσι πολλοῖσιν Ἰνδοῖσιν.
black likewise as-the many Indians

οὗτοι πάλαι μὲν Ἀσσυρίοισιν ὑπήκοοι ἦσαν· ἐπὶ δὲ 1.3
these long-ago indeed to-Assyrians subject were under and
Μήδοισι Περσέων ἤκουον, καὶ φόρους ἀπέφερον Κύρῳ
Medes to-Persians were-subject and tributes paid to-Cyrus
τῷ Καμβύσεω ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε Κῦρος.
the (son)-of-Cambyses from the land their which assessed Cyrus

1.4 Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν ἅμα
Nysaeans and not Indian race are but of-those together-with
Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τὴν Ἰνδῶν, τυχὸν μὲν
Dionysus having-come into the land the of-Indians perhaps indeed
Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖσι
of-Greeks as-many-as unfit-for-service of-them became in the
πολέμοισιν οὕστινας πρὸς Ἰνδοὺς Διόνυσος ἐπολέμησε,
wars which against Indians Dionysus waged
τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων.
perhaps and also of-the natives

1.5 τοὺς ἐθέλοντας τοῖσιν Ἕλλησι συνῴκισε, τήν τε χώρην
those wishing with-the Greeks he-settled the both country
Νυσαίην ὠνόμασεν ἀπὸ τοῦ οὔρεος τῆς Νύσης Διόνυσος,
Nysaean named from the mountain — Nysa Dionysus
καὶ τὴν πόλιν αὐτὴν Νῦσαν.
and the city itself Nysa

1.6 καὶ τὸ οὖρος τὸ πρὸς τῇ πόλι, ὅτου ἐν τῇσιν ὑπωρείῃσιν
and the mountain the by the city of-which in the foothills
ᾤκισται ἡ Νῦσα, Μηρὸς κλείζεται ἐπὶ τῇ συμφορῇ ἥτινι
is-settled — Nysa Meros is-called from the mishap which
ἐχρήσατο εὐθὺς γενόμενος.
he-experienced at-once being-born

1.7 ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν, καὶ
these-things indeed the poets about Dionysus composed and
ἐξηγείσθων αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων·
let-them-interpret them as-many-as learned of-Greeks or of-barbarians

1.8 ἐν Ἀσσακηνοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἵναπερ
where-indeed independent they-are and to-these not lawful falsehood
ἀναγγεῖλαι οὐδέν, οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι.
to-report any nor any of-Indians charge had to-have-lied

12.6 ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι
seventh and are those about the public-affairs deliberating
ὁμοῦ τῷ βασιλέι ἢ κατὰ τὰς πόλιας ὅσαι αὐτόνομοι
together-with the king or in the cities as-many-as independent
σὺν τῇσιν ἀρχῇσι.
with the magistrates

12.7 πλήθεϊ μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ
in-number indeed small the class this is in-wisdom but and
δικαιότητι ἐκ πάντων προκεκριμένον. ἔνθεν οἵ τε ἄρχοντες
justice of all preferred whence the both rulers
αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νόμαρχοι καὶ ὕπαρχοι
for-them are-chosen and as-many-as nomarchs and hyparchs
καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε
and treasurers both and army-officers admirals both
καὶ ταμίαι καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται.
and stewards and of-the in agriculture works overseers

12.8 γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι
to-marry and from another class not lawful as for-the
γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ ἢ ἔμπαλιν. οὐδὲ δύο
farmers from the artisan or the-reverse nor two
τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν οὐδὲ τοῦτο θέμις, οὐδὲ
crafts to-practice the same nor this lawful nor

ἀμείβειν ἕτερον ἐξ ἑτέρου γένος, οἷον γεωργικὸν ἐκ
to-change other from other class as farmer from
νομέος γίνεσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ.
herdsman to-become or herdsman from artisan
μοῦνόν σφισιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γίνεσθαι, 12.9
only for-them is-allowed sage from every class to-become
ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσίν ἐστι τὰ πρήγματα
because not soft for-the sages are the affairs
ἀλλὰ πάντων ταλαιπωρότατα.
but of-all most-wretched
θηρέουσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία κατάπερ 13.1
hunt and Indians the indeed other wild beasts as
καὶ Ἕλληνες, ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρη οὐδέν
also Greeks the and of-the elephants for-them hunt nothing
τι ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν
at-all other is-like because also these the beasts to-no
ἄλλοισι θηρίοισιν ἐπέοικεν.
other beasts are-like
ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν 13.2
but a-place for having-chosen flat and burning in
κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ
circle a-ditch they-dig as-much-as for-great camp
ἐναυλίσασθαι. τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς
to-encamp-in of-the and ditch the width about five fathoms
ποιέονται, βάθος τε ἐς τέσσαρας.
they-make depth both about four
τὸν δὲ χόον ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ 13.3
the and earth which they-throw-out from the digging on
τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες ἀντὶ
the lips each of-the ditch having-heaped instead-of
τείχεος διαχρέονται,
wall use

13.4 αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τῷ ἐπὶ τοῦ χείλεος τοῦ ἔξω
themselves and on the mound the on the lip the outer
τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ
of-the ditch huts for-themselves dug-out make and through
τούτων ὀπὰς ὑπολείπονται· δι᾽ ὧν φάος τε αὐτοῖσιν
these holes they-leave through which light both to-them
ἐσέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς
enters and the beasts approaching and charging-in into
τὸ ἔρκος σκέπτονται.
the enclosure they-watch

13.5 ἐνθαῦτα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας
there within the enclosure having-placed of-the some
θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν
females three or four as-many-as most in-the spirit
χειροήθεες, μίαν ἔσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον,
tame one entrance they-leave across the ditch
γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χόον τε καὶ ποίην
having-bridged the ditch and on-this earth both and grass
πολλὴν ἐπιφορέουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι
much they-heap-on for-the not conspicuous to-be to-the beasts
τὴν γέφυραν, μή τινα δόλον ὀισθῶσιν.
the bridge lest some trick they-suspect

13.6 αὐτοὶ μὲν ὧν ἐκποδὼν σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων
themselves indeed then out-of-the-way themselves hold down-in the huts
τῶν ἐπὶ τῇ τάφρῳ δεδυκότες, οἱ δὲ ἄγριοι ἐλέφαντες
the on the ditch having-crept the and wild elephants
ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκεομένοισι, νύκτωρ δὲ
by-day indeed not approach the inhabited-places by-night but
πλανέονταί τε πάντη καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ
they-roam both everywhere and in-herds feed the greatest

καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι
and noblest of-them following as the cows the
ταύροισιν.
bulls
ἐπεὰν ὦν τῷ ἕρκεϊ πελάσωσι, τήν τε φωνὴν ἀκούοντες 13.7
when then to-the enclosure they-approach the both voice hearing
τῶν θηλέων καὶ τῆς ὀδμῆς αἰσθόμενοι, δρόμῳ ἴενται ὡς
of-the females and the smell perceiving at-a-run they-rush as
ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς
toward the place the fenced having-gone-round and of-the
τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι. κατὰ
ditch the lips when — the bridge they-meet over
ταύτην ἐς τὸ ἕρκος ὠθέονται.
this into the enclosure they-push
οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων 13.8
the and men having-perceived the entrance of-the elephants
τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως
the wild the-ones indeed of-them the bridge swiftly
ἀπεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες
removed the-others and to the near villages having-run-off
ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκεϊ ἔχονται
report the elephants that in the enclosure they-are-held
οἳ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε καὶ
they and having-heard mount the strongest both and
χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς
tamest elephants having-mounted and drive as
ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται,
toward the enclosure having-driven and not at-once battle engage
ἀλλὰ ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους
but allow for by-hunger both to-be-distressed the wild
ἐλέφαντας καὶ ὑπὸ τῷ δίψεϊ δουλωθῆναι.
elephants and by the thirst to-be-subdued

13.9 εὖτ᾽ ἂν δέ σφισι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα
when — and to-them badly to-be-faring they-seem then
ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐπὶ
having-set-up again the bridge drive both as toward
τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη κατίσταται καρτερὴ
the enclosure and the indeed first battle arises fierce
τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας·
for-the tame of-the elephants against the captured
13.10 ἔπειτα κρατέονται μὲν κατὰ τὸ οἰκὸς οἱ ἄγριοι ὑπό τε
then are-overcome indeed as-is the likely the wild by both
τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρεύμενοι.
the despondency and the hunger being-distressed
13.11 οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν
they and from the elephants having-dismounted exhausted
ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν, ἔπειτα
already for-the wild the feet tips they-tie-together then
ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγῇσι σφᾶς κολάζειν
they-urge the tame with-blows them to-chastise
πολλῇσιν, ἔστ᾽ ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι.
many until — those being-distressed to earth should-fall
παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ
having-stood-by and nooses they-throw-around them about
τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι.
the necks and themselves mount the-lying
13.12 τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο
for-the and not to-shake-off the riders nor any other
ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ
reckless to-do the neck of-them in circle
μαχαιρίῳ ὀξέι ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν
with-knife sharp they-cut-around and the noose in the

τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε
cut they-bind-around so-that still to-hold the head both
καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος.
and the neck from the wound
εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι 13.13
if for they-should-turn from recklessness is-rubbed for-them
τὸ ἕλκος ὑπὸ τῷ κάλῳ.
the wound by the rope

IV · ELEPHANTS, BEASTS, AND THE INDIAN WAY OF LIFE

Captured elephants that refuse food are lulled with songs, drums, and cymbals; they are wise, carrying fallen riders to burial, and Arrian has seen them play cymbals and dance. They live up to two hundred years. Nearchus saw tiger skins and the skins of the gold-digging ants Megasthenes describes, and tells of great snakes, while Arrian passes over parrots and apes as familiar; Indian doctors cure snakebite. The Indians dress in linen, dye their beards, carry parasols, fight with tall bows, javelins, and two-handed swords, and ride without saddles. Chaste women give themselves for an elephant, and girls marry victors in contests. Arrian then turns to the voyage.

οὕτω ὦν ἀτρέμα ἴσχουσι, καὶ ταύτῃ γνωσιμαχέοντες 14.1
so then still they-keep and in-this-way acknowledging-defeat
ἤδη ἄγονται πρὸς τῶν ἡμέρων. ὅσοι δὲ νήπιοι αὐτῶν
already are-led by the tame as-many-as and young of-them
ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν
or because-of badness not worthy to-be-possessed these they-allow
ἀπαλλάσσεσθαι ἐς τὰ σφέτερα ἤθεα.
to-go-away to the their-own haunts
ἄγοντες δὲ ἐς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ 14.2
leading and to the villages the captured of-the both green
καλάμου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν,
reed and of-the grass the first to-eat they-gave

14.3 οἳ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς
they and from despondency not wish anything to-eat them
δὲ περιστάμενοι οἱ Ἰνδοὶ ᾠδῇσί τε καὶ τυμπάνοισι καὶ
and standing-around the Indians with-songs both and with-drums and
κυμβάλοισιν κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσι.
with-cymbals beating both and singing lull-to-sleep
14.4 θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ἐλέφας, καί
wise-of-heart for if-indeed any other beast elephant and
τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ
some already of-them the riders their in war
ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἳ
having-died having-lifted themselves carried-out to burial others
δὲ καὶ ὑπερήσπισαν κειμένους, οἳ δὲ καὶ πεσόντων
and also shielded-over them-lying others and also of-the-fallen
προεκινδύνευσαν, ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν
ran-risk-in-front one and some in anger having-killed the
ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν.
rider from remorse both and despondency died
14.5 εἶδον δὲ ἐγὼ καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ
saw and I also cymbal-playing already an-elephant and
ἄλλους ὀρχεομένους, κυμβάλου τῷ κυμβαλίζοντι πρὸς
others dancing a-cymbal to-the cymbal-player to
τοῖν σκελοῖν τοῖν ἔμπροσθε προσηρτημένου, καὶ πρὸς
the-two legs the-two front fastened and to
τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον·
the trunk called another cymbal
14.6 ὁ δὲ ἐν μέρεϊ τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν
he and in turn with-the trunk struck the cymbal in
ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν, οἳ δὲ ὀρχεόμενοι ἐν
rhythm against each the-two legs they and dancing in
κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες
circle both danced and raising both and bending

τὰ ἔμπροσθε σκέλεα ἐν τῷ μέρεϊ ἐν ῥυθμῷ καὶ οὗτοι
the front legs in the turn in rhythm and these
ἔβαινον, κατ᾽ ὅτι ὁ κυμβαλίζων σφίσιν ὑπηγέετο.
stepped according-to what the cymbal-player for-them led
βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, 14.7
is-mounted and elephant in-spring season as ox or horse
ἐπεὰν τῇσι θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ
when for-the females the by the temples breathing-holes
ἀνοιχθεῖσαι ἐκπνέωσι. κύει δὲ τοὺς ἐλαχίστους μὲν
having-opened breathe-out is-pregnant and the shortest indeed
ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει
sixteen months the most and eighteen gives-birth
δὲ ἕν, κατάπερ ἵππος, καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι
and one as horse and this rears with-the milk
ἐς ἔτος ὄγδοον.
to year eighth
ζώουσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζώοντες ἐς 14.8
live and of-elephants those most years living to
διηκόσια, πολλοὶ δὲ νούσῳ προτελευτέουσιν.
two-hundred many and by-disease die-before
καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴημα βόειον γάλα 14.9
and there-is for-them of-the indeed eyes remedy cow's milk
ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νούσους μέλας οἶνος
poured-in for and the other diseases black wine
πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι ὕεια κρέα ὀπτεύμενα καὶ
drunk on and the wounds pork meat roasted and
καταπλασσόμενα.
plastered-on
τοῦ δὲ ἐλέφαντος τὴν τίγριν πολλόν τι ἀλκιμωτέρην 15.1
than-the and elephant the tiger much somewhat more-valiant
Ἰνδοὶ ἄγουσι. τίγριος δὲ δορὴν μὲν ἰδεῖν λέγει Νέαρχος,
Indians consider of-tiger and skin indeed to-have-seen says Nearchus

αὐτὴν δὲ τίγριν οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ
itself but tiger not to-have-seen but the Indians for
ἀπηγέεσθαι, τίγριν εἶναι μέγαθος μὲν ἡλίκον τὸν μέγιστον
to-relate tiger to-be in-size indeed as-large-as the largest
ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ ἄλλῳ εἰκάσαι·
horse the and swiftness and strength such-as to-nothing other to-liken
15.2 ἐπεὰν γὰρ ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπιπηδᾶν τε ἐπὶ τὴν
when for together it-comes with-an-elephant to-leap both on the
κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν εὐπετέως.
head of-the elephant and to-throttle easily
15.3 ταύτας δέ, ἄστινας καὶ ἡμεῖς ὁρέομεν καὶ τίγριας καλέομεν,
these and which also we see and tigers call
θῶας εἶναι αἰόλους καὶ μέζονας ἤπερ τοὺς ἄλλους θῶας.
jackals to-be spotted and larger than the other jackals
15.4 ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος μύρμηκα
since also about the ants says Nearchus an-ant
μὲν αὐτὸς οὐκ ἰδέειν, ὁκοῖον δή τινα μετεξέτεροι
indeed himself not to-have-seen of-the-sort-which indeed (a-kind) certain-(writers)
διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ, δορὰς δὲ καὶ τούτων
described to-occur in the of-Indians land skins and also of-these
ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακομισθείσας τὸ
to-have-seen many to the camp brought-down the
Μακεδονικόν.
Macedonian
15.5 Μεγασθένης δὲ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν
Megasthenes and exact to-be about the ants the
λόγον ἱστορέει, τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας,
account relates these to-be those the gold digging
οὐκ αὐτοῦ τοῦ χρυσοῦ εἵνεκα, ἀλλὰ φύσι γὰρ κατὰ
not itself the gold for-the-sake but by-nature for under

τῆς γῆς ὀρύσσουσιν, ἵνα φωλεύωσι, κατάπερ οἱ ἡμέτεροι
the earth they-dig so-that they-may-lurk as the our
οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν.
the small ants a-little of-the earth dig
ἐκείνους δέ — εἶναι γὰρ ἀλωπέκων μέζονας — πρὸς λόγον 15.6
those and to-be for than-foxes larger in proportion
τοῦ μεγάθεος σφῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν
of-the size their and the earth to-dig the and earth
χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν.
gold-bearing to-be and from this to-come to-Indians the gold
ἀλλὰ Μεγασθένης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι 15.7
but Megasthenes both hearsay relates and I because
οὐδὲν τούτου ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν
nothing than-this more-exact to-record am-able let-go willingly
τὸν ὑπὲρ τῶν μυρμήκων λόγον.
the about the ants account
σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι θῶμα ἀπηγέεται 15.8
parrots and Nearchus indeed as indeed some marvel relates
ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ, καὶ ὁκοῖος ὄρνις ἐστὶν ὁ
that they-occur in the of-Indians land and what-sort bird is the
σιττακός, καὶ ὅκως φωνὴν ἵει ἀνθρωπίνην.
parrot and how voice it-utters human
ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλλους 15.9
I and because myself both many have-seen and others
ἐπισταμένους ᾔδεα τὸν ὄρνιθα, οὐδὲν ὡς ὑπὲρ ἀτόπου
knowing knew the bird nothing as about strange
δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων τοῦ μεγάθεος,
forsooth will-relate nor about the apes the size
ἢ ὅτι καλοὶ παρ᾽ Ἰνδοῖσι πίθηκοί εἰσιν, οὐδὲ ὅκως
or that fine among Indians apes are nor how

θηρέονται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρέω, πλήν
they-are-hunted I-will-tell and for these-things known I-will-tell except
γε δὴ ὅτι καλοὶ κου πίθηκοί εἰσι.
at-least indeed that fine I-suppose apes are
15.10 καὶ ὄφιας δὲ λέγει Νέαρχος θηρευθῆναι αἰόλους μὲν καὶ
and snakes and says Nearchus to-have-been-hunted spotted indeed and
ταχέας, μέγαθος δέ, ὧν μὲν λέγει ἑλεῖν Πείθωνα τὸν
swift in-size and which indeed he-says to-have-caught Peithon the
Ἀντιγένεος, πήχεων ὡς ἑκκαίδεκα· αὐτοὺς δὲ τοὺς Ἰνδοὺς
(son)-of-Antigenes of-cubits about sixteen themselves and the Indians
πολὺ μέζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφιας.
much larger than-these to-say to-be the greatest snakes
15.11 ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο
as-many-as and physicians Greek to-these no remedy had-been-found
ὅστις ὑπὸ ὄφιος δηχθείη Ἰνδικοῦ· ἀλλὰ αὐτοὶ γὰρ οἱ
whoever by snake should-be-bitten Indian but themselves for the
Ἰνδοὶ ἰῶντο τοὺς πληγέντας. καὶ ἐπὶ τῷδε Νέαρχος λέγει
Indians healed those struck and for this Nearchus says
ὅτι συλλελεγμένους ἀμφ' ἑωυτὸν εἶχεν Ἀλέξανδρος Ἰνδῶν
that gathered around himself had Alexander of-Indians
ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ ἐκεκήρυκτο ἀνὰ
as-many-as in-medicine wisest and it-had-been-proclaimed throughout
τὸ στρατόπεδον, ὅστις δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν
the camp whoever should-be-bitten to the tent to-come
τὴν τοῦ βασιλέος.
the of-the king
15.12 οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων
the and same these also of-the other diseases both and sufferings
ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται,
physicians were not many and among Indians sufferings occur
ὅτι αἱ ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι μέζον
because the seasons temperate are there if and something greater

καταλαμβάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι
should-seize to-the sages they-referred and those
οὐκ ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ τι περ ἰήσιμον.
not without god seemed to-heal what ever indeed curable
ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέαρχος, 16.1
clothing and Indians linen use as says Nearchus
λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτων μοι ἤδη
of-linen the from the trees about which to-me already
λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν
has-been-said the and linen this either brighter in-the color
ἐστιν ἄλλου λίνου παντός, ἢ μέλανες αὐτοὶ ἐόντες
is than-other linen all or black themselves being
λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν.
brighter the linen to-appear make
ἔστι δὲ κιθὼν λίνεος αὐτοῖσιν ἔστε ἐπὶ μέσην τὴν κνήμην, 16.2
is and tunic linen for-them as-far to middle the shin
νῆμα δὲ τὸ μὲν τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ
spun-cloth and the-one indeed on-the shoulders thrown-around the-other
δὲ περὶ τῇσι κεφαλῇσιν εἰλιγμένον.
and around the heads wound
καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος, ὅσοι κάρτα 16.3
and earrings Indians wear of-ivory as-many-as very
εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι.
prosperous not for all Indians wear
τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοὶ 16.4
the and beards says Nearchus that dye Indians
χροιὴν ἄλλην καὶ ἄλλην, οἳ μέν, ὡς λευκοὺς φαίνεσθαι
color other and other some indeed so-that white to-appear
οἵους λευκοτάτους, οἳ δὲ κυανέους· τοῖσι δὲ φοινικέους
such-as whitest others and dark-blue to-some and red
εἶναι, τοῖσι δὲ καὶ πορφυρέους, ἄλλοισι πρασοειδέας·
to-be to-some and also purple to-others leek-green

16.5 καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι
and parasols that they-hold-before-them in-the summer as-many-as
οὔκ ἠμεληµένοι Ἰνδῶν. ὑποδήµατα δὲ λευκοῦ δέρµατος
not neglected of-Indians shoes and of-white leather
φορέουσι, περισσῶς καὶ ταῦτα ἠσκηµένα· καὶ τὰ ἴχνεα
they-wear elaborately and these worked and the soles
τῶν ὑποδηµάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ µέζονας
of-the shoes for-them variegated and high for-the taller
φαίνεσθαι.
to-appear

16.6 ὁπλίσιος δὲ τῆς Ἰνδῶν οὐκ ὠυτὸς εἷς τρόπος, ἀλλὰ
of-armament and of-the Indians not the-same one manner but
οἱ µὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν, ἰσόµηκες τῷ
the indeed infantry for-them bow both have of-equal-length to-the
φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν
bearer the bow and this down on the ground
θέντες καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως
having-set and with-the foot the left having-stepped-against so
ἐκτοξεύουσι, τὴν νευρὴν ἐπὶ µέγα ὀπίσω ἀπαγαγόντες·
they-shoot the string to great back having-drawn

16.7 ὁ γὰρ ὀιστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ
the for arrow for-them a-little falling-short of-three-cubits nor
τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε
anything withstands shot by Indian man archer neither
ἀσπὶς οὔτε θώρηξ οὔτε εἴ τι καρτερώτερον ἐγένετο.
shield nor breastplate nor if anything stronger existed

16.8 ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠµοβόιναι,
in and the left-hands light-shields are for-them of-raw-oxhide
στεινότεραι µὲν ἢ κατὰ τοὺς φορέοντας, µήκεϊ δὲ οὐ
narrower indeed than as-wide-as the bearers in-length but not
πολλὸν ἀποδέουσαι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί.
much falling-short for-others and javelins instead-of bows are

μάχαιραν δὲ πάντες φορέουσι, πλατέαν δὲ καὶ τὸ μῆκος 16.9
sword and all wear broad and and the length
οὐ μέζω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ
not greater than-three-cubits and this when hand-to-hand should-be-set
αὐτοῖσιν ἡ μάχη — τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς
for-them the battle this and not easily for-Indians against
ἀλλήλους γίνεται — ἀμφοῖν τοῖν χεροῖν καταφέρουσιν,
one-another happens with-both the-two hands they-bring-down
τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι.
for-the strong the blow to-be
οἱ δὲ ἱππέες αὐτοῖσιν ἀκόντια δύο ἔχουσιν, οἷα τὰ σαύνια 16.10
the and cavalry for-them javelins two have such-as the saunia
ἀκόντια, καὶ πέλτην σμικροτέρην τῶν πεζῶν. οἱ δὲ ἵπποι
javelins and light-shield smaller than-the infantry the and horses
αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐδὲ χαλινοῦνται τοῖσιν
for-them not saddled are nor are-bridled with-the
Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφερέως,
Greek bridles or the Celtic in-like-manner
ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι ἐν κύκλῳ ἔχουσι δέρμα 16.11
but around tip the mouth in circle they-have skin
ὠμοβόινον ῥαπτὸν περιηρτημένον, καὶ ἐν τούτῳ χάλκεα
raw-oxhide sewn fastened-around and in this bronze
κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα·
spikes or iron not very sharp inward turned
τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν. ἐν δὲ τῷ
for-the and rich ivory spikes are in and the
στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ
mouth iron for-them the horses have such-as indeed
ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες·
a-spit from-which attached are for-them the reins

16.12 ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς κρατέει
when then they-pull the rein the both spit masters
τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα,
the horse and the spikes as indeed from it fastened
κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.
pricking not allow other anything than to-obey the rein
17.1 τὰ δὲ σώματα ἰσχνοί τέ εἰσιν Ἰνδοὶ καὶ εὐμήκεες,
the and bodies lean both are Indians and tall
καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους.
and light much somewhat beyond the other men
ὀχήματα δὲ τοῖσι μὲν πολλοῖσιν Ἰνδῶν κάμηλοί εἰσι καὶ
vehicles and for-the indeed many of-Indians camels are and
ἵπποι καὶ ὄνοι, τοῖσι δὲ εὐδαίμοσιν ἐλέφαντες.
horses and asses for-the and prosperous elephants
17.2 βασιλικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ᾽ Ἰνδοῖσίν ἐστι,
royal for vehicle the elephant among Indians is
δεύτερον δὲ τιμῇ τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι.
second and in-honor the four-horse-chariots third and the camels
τὸ δὲ ἐπ᾽ ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον.
the and on one horse to-ride without-honor
17.3 αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ
the women and for-them as-many-as very chaste for
μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν, ἐλέφαντα δὲ
indeed other pay not — anything would-go-astray an-elephant but
λαβοῦσα γυνὴ μίσγεται τῷ δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοὶ
having-received a-woman lies-with the giver nor shameful Indians
ἄγουσι τὸ ἐπὶ ἐλέφαντι μιγῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει
consider the for elephant to-lie-with but even dignified seems
τῇσι γυναιξὶν ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος.
to-the women worthy in-the beauty to-appear of-an-elephant

γαμέουσι δὲ οὔτε τι διδόντες οὔτε τι λαμβάνοντες, 17.4
they-marry and neither anything giving nor anything taking
ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας δὲ οἱ πατέρες
but as-many-as already ripe for-marriage these and the fathers
προάγοντες ἐς τὸ ἐμφανὲς κατιστᾶσιν ἐκλέξασθαι τῷ
bringing-forward into the open set-up to-choose for-the
νικήσαντι πάλην ἢ πὺξ ἢ δρόμον ἢ κατ᾽ ἄλλην τινὰ
having-won at-wrestling or boxing or running or in another some
ἀνδρηίην προκριθέντι.
manliness having-been-preferred
σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ 17.5
grain-eaters and and plowmen Indians are as-many-as at-least not
ὄρειοι αὐτῶν· οὗτοι δὲ θηρήια κρέα σιτέονται.
mountain-dwellers of-them these and wild-game meat eat
ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα 17.6
these-things for-me suffices to-have-been-shown about Indians as-many-as
γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε,
most-known Nearchus both and Megasthenes reputable two-men
ἀνεγραψάτην·
recorded
ἐπεὶ δὲ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς συγγραφῆς τὰ 17.7
since and not-even the subject to-me of-this the history the
Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλὰ ὅκως γὰρ περιεκομίσθη
of-Indians customs to-record was but how for was-conveyed-round
Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος, ταῦτα δέ
for-Alexander to Persians from Indians the fleet these-things and
μοι ἐκβολὴ ἔστω τοῦ λόγου.
for-me digression let-be of-the account

Alexander mans his fleet on the Hydaspes with Phoenicians, Cyprians, Egyptians, and islanders, under trierarchs whom Arrian lists, with Nearchus as admiral and Onesicritus as helmsman of the royal ship. He sacrifices to his gods and to the sea and rivers, holds games, and sails down to the Acesines while Craterus and Hephaestion march along the banks. Arrian follows Nearchus' account of the voyage from the Indus to the Persian Gulf. Alexander, Nearchus says, longed for the voyage but feared for the fleet, and Nearchus volunteered to lead it. When the etesian winds lull, the fleet sets out down the Indus, cuts a channel through a reef at its mouth, and reaches a harbor Nearchus names after Alexander, where he walls his camp and strong winds hold it for twenty-four days.

18.1 Ἀλέξανδρος γάρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν
Alexander for when for-him had-been-prepared the fleet
ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι
on — Hydaspes the banks choosing as-many-as
τε Φοίνικες καὶ ὅσοι Κύπριοι καὶ Αἰγύπτιοι εἵποντο ἐν
both Phoenicians and as-many-as Cyprians and Egyptians followed in
τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας,
the up-country expedition from these he-manned the ships
ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος ὅσοι
crews both for-them and rowers choosing as-many-as
τῶν θαλασσίων ἔργων δαήμονες.
of-the sea works skilled

18.2 ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ,
were and also islanders men not few in the army
οἷσι ταῦτα ἔμελε, καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι.
to-whom these-things were-a-concern and Ionians and Hellespontines

18.3 τριήραρχοι δὲ αὐτοῖσιν ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν
trierarchs and over-them were-appointed from Macedonians indeed
Ἡφαιστίων τε ὁ Ἀμύντορος, καὶ Λεόννατος ὁ Ἀντέου,
Hephaestion both the (son)-of-Amyntor and Leonnatus the (son)-of-Anteas

καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέος, καὶ Ἀσκληπιόδωρος ὁ
and Lysimachus the (son)-of-Agathocles and Asclepiodorus the
Τιμάνδρου, καὶ Ἄρχων ὁ Κλεινίεω, καὶ Δημόνικος
(son)-of-Timander and Archon the (son)-of-Cleinias and Demonicus
ὁ Ἀθηναίου, καὶ Ἀρχίης ὁ Ἀναξιδότεω, καὶ Ὀφέλας
the (son)-of-Athenaeus and Archias the (son)-of-Anaxidotus and Ophellas
ὁ Σειληνοῦ, καὶ Τιμάνθης ὁ Παντιάδεω. οὗτοι μὲν
the (son)-of-Silenus and Timanthes the (son)-of-Pantiades these indeed
Πελλαῖοι· ἐκ δὲ Ἀμφιπόλιος ἦγον οἵδε·
Pellaeans from and Amphipolis commanded these
Νέαρχος ὁ Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παραπλόῳ 18.4
Nearchus the (son)-of-Androtimus who the-things about the coasting-voyage
ἀνέγραψε· καὶ Λαομέδων ὁ Λαρίχου, καὶ Ἀνδροσθένης
recorded and Laomedon the (son)-of-Larichus and Androsthenes
ὁ Καλλιστράτου·
the (son)-of-Callistratus
ἐκ δὲ τῆς Ὀρεστίδος Κράτερός τε ὁ Ἀλεξάνδρου, καὶ 18.5
from and — Orestis Craterus both the (son)-of-Alexander and
Περδίκκας ὁ Ὀρόντεω· Ἐορδαῖοι δὲ Πτολεμαῖός τε ὁ
Perdiccas the (son)-of-Orontes Eordaeans and Ptolemy both the
Λάγου καὶ Ἀριστόνοος ὁ Πισαίου. ἐκ Πύδνης δὲ
(son)-of-Lagus and Aristonous the (son)-of-Pisaeus from Pydna and
Μήτρων τε ὁ Ἐπιχάρμου καὶ Νικαρχίδης ὁ Σίμου.
Metron both the (son)-of-Epicharmus and Nicarchides the (son)-of-Simus
ἐπὶ δὲ Ἄτταλός τε ὁ Ἀνδρομένεος Τυμφαῖος, καὶ 18.6
besides and Attalus both the (son)-of-Andromenes Tymphaean and
Πευκέστας ὁ Ἀλεξάνδρου, Μιεζεύς, καὶ Πείθων ὁ Κρατεύα,
Peucestas the (son)-of-Alexander Miezan and Peithon the (son)-of-Crateuas
Ἀλκομενεύς, καὶ Λεόννατος ὁ Ἀντιπάτρου Αἰγαῖος, καὶ
Alcomenian and Leonnatus the (son)-of-Antipater Aegaean and

Πάνταυχος ὁ Νικολάου Ἀλωρίτης, καὶ Μυλλέας ὁ
Pantauchus the (son)-of-Nicolaus Alorite and Mylleas the
Ζωΐλου Βεροιαῖος. οὗτοι μὲν οἱ σύμπαντες Μακεδόνες·
(son)-of-Zoilus Beroean these indeed the all Macedonians
18.7 Ἑλλήνων δὲ Μήδιος μὲν ὁ Ὀξυθέμιδος Λαρισαῖος,
of-Greeks and Medius indeed the (son)-of-Oxythemis Larisaean
Εὐμένης δὲ ὁ Ἱερωνύμου ἐκ Καρδίης, Κριτόβουλος
Eumenes and the (son)-of-Hieronymus from Cardia Critobulus
δὲ ὁ Πλάτωνος Κῷος καὶ Θόας ὁ Μηνοδώρου καὶ
and the (son)-of-Plato Coan and Thoas the (son)-of-Menodorus and
Μαίανδρος ὁ Μανδρογένεος Μάγνητες.
Maeandrus the (son)-of-Mandrogenes Magnesians
18.8 Ἄνδρων δὲ ὁ Καβήλεω Τήιος, Κυπρίων δὲ Νικοκλέης
Andron and the (son)-of-Cabeles Teian of-Cyprians and Nicocles
ὁ Πασικράτεος Σόλιος, καὶ Νιθάφων ὁ Πνυταγόρεω
the (son)-of-Pasicrates Solian and Nithaphon the (son)-of-Pnytagoras
Σαλαμίνιος. ἦν δὲ δὴ καὶ Πέρσης αὐτῷ τριήραρχος,
Salaminian was and indeed also a-Persian for-him trierarch
Βαγώας ὁ Φαρνούχεω.
Bagoas the (son)-of-Pharnuches
18.9 τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὸς κυβερνήτης ἦν Ὀνησίκριτος
of-the and of-himself Alexander ship helmsman was Onesicritus
Ἀστυπαλαιεύς, γραμματεὺς δὲ τοῦ στόλου παντὸς Εὐαγόρας
Astypalaean secretary and of-the fleet whole Euagoras
ὁ Εὐκλέωνος Κορίνθιος.
the (son)-of-Eucleon Corinthian
18.10 ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη Νέαρχος ὁ Ἀνδροτίμου,
admiral and over-them was-appointed Nearchus the (son)-of-Androtimus
τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ᾤκεε δὲ ἐν Ἀμφιπόλι
the race indeed Cretan — Nearchus he-lived but in Amphipolis
τῇ ἐπὶ Στρυμόνι.
the on Strymon

ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖσι 18.11
when and these-things had-been-ordered by-Alexander he-sacrificed to-the
θεοῖσιν ὅσοι γε πάτριοι ἢ μαντευτοὶ αὐτῷ, καὶ
gods as-many-as at-least ancestral or prescribed-by-oracle for-him and
Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηίσι καὶ αὐτῷ τῷ
to-Poseidon and to-Amphitrite and to-Nereids and to-itself the
Ὠκεανῷ, καὶ τῷ Ὑδάσπῃ ποταμῷ, ἀπ᾽ ὅτου ὡρμᾶτο,
Ocean and to-the Hydaspes river from which he-set-out
καὶ τῷ Ἀκεσίνῃ, ἐς ὅντινα ἐκδιδοῖ Ὑδάσπης, καὶ τῷ
and — to-Acesines into which flows-out Hydaspes and —
Ἰνδῷ, ἐς ὅντινα ἄμφω ἐκδιδοῦσιν·
to-Indus into which both flow-out
ἀγῶνές τε αὐτῷ μουσικοί τε καὶ γυμνικοὶ ἐποιεῦντο, καὶ 18.12
contests both for-him musical both and gymnastic were-held and
ἱερήϊα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο.
victims for-the army all by units were-given
ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγήν, Κράτερον 19.1
when and everything had-been-made-ready for-him for putting-out Craterus
μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἐπιέναι σὺν στρατιῇ
indeed the-parts on the-other-side — of-Hydaspes to-go with army
ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα δὲ
he-ordered infantry both and cavalry on the on the-other-side and
Ἡφαιστίων αὐτῷ προεπορεύετο, σὺν ἄλλῃ στρατιῇ πλείονι
Hephaestion for-him went-ahead with another army larger
ἔτι τῆς Κρατέρῳ συντεταγμένης. καὶ τοὺς ἐλέφαντας
still than-the with-Craterus drawn-up and the elephants
Ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διηκοσίους.
Hephaestion for-him led being about two-hundred

19.2 αὐτὸς δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἳ
himself and the both shield-bearers called together-with himself
ἦγε καὶ τοὺς τοξότας πάντας καὶ τῶν ἱππέων τοὺς
led and the archers all and of-the cavalry the
ἑταίρους καλεομένους, τοὺς πάντας ἐς ὀκτακισχιλίους.
companions called the all about eight-thousand

19.3 τοῖσι μὲν δὴ ἀμφὶ Κράτερον καὶ Ἡφαιστίωνα
for-those indeed indeed around Craterus and Hephaestion
ἐτέτακτο ἵνα προπορευθέντες ὑπομένοιεν τὸν στόλον.
it-had-been-ordered that having-gone-ahead they-should-wait-for the fleet

19.4 Φίλιππον δέ, ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν,
Philip and who for-him satrap of-the country this was
ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα
on the Acesines river the banks he-sends together-with
στρατιῇ πολλῇ καὶ τοῦτον·
army great also this-one

19.5 ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο
already for also twelve ten-thousands for-him fighting-men followed
σὺν οἷσιν ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε καὶ αὖθις
with those-whom from sea both himself led-up and again
οἱ ἐπὶ συλλογῇ αὐτῷ στρατιῆς πεμφθέντες ἦκον ἔχοντες,
those for collection for-him of-army sent came having
παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἳ ἄγοντι καὶ πᾶσαν
various peoples barbarian together-with him leading and every
ἰδέην ὡπλισμένα.
form armed

19.6 αὐτὸς δὲ ἄρας τῇσι νηυσὶ κατέπλωε κατὰ τὸν
himself and having-set-out with-the ships sailed-down along —
Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω
Hydaspes as-far to — of-Acesines both and — of-Hydaspes
τὰς συμβολάς.
the confluences

νέες δὲ αἱ σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ 19.7
ships and the all for-him eight-hundred were the both long
καὶ ὅσα στρογγύλα πλοῖα καὶ ἄλλαι ἱππαγωγοὶ καὶ
and as-many-as round boats and other horse-transports and
σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι.
food together-with the army bringing
ὅκως μὲν δὴ κατὰ τοὺς ποταμοὺς κατέπλωσεν αὐτῷ ὁ 19.8
how indeed indeed down the rivers sailed for-him the
στόλος, καὶ ὅσα ἐν τῷ παραπλόῳ ἔθνεα κατεστρέψατο,
fleet and as-many-as in the coasting-voyage peoples he-subdued
καὶ ὅκως διὰ κινδύνου αὐτὸς ἐν Μαλλοῖσιν ἦκε, καὶ τὸ
and how through danger himself among Malli came and the
τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖσι, καὶ Πευκέστας τε
wound which he-was-wounded among Malli and Peucestas both
καὶ Λεόννατος ὅκως ὑπερήσπισαν αὐτὸν πεσόντα, πάντα
and Leonnatus how shielded him fallen all
ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ τῇ Ἀττικῇ συγγραφῇ.
these-things have-been-told by-me already in the other the Attic history
ὁ δὲ λόγος ὅδε τοῦ παραπλόου μοι ἀπήγησίς ἐστιν, 19.9
the and account this of-the coasting-voyage for-me narration is
ὃν Νέαρχος σὺν τῷ στόλῳ παρέπλωσεν ἀπὸ τοῦ Ἰνδοῦ
which Nearchus with the fleet coasted from — Indus
τῶν ἐκβολέων ὁρμηθεὶς κατὰ τὴν θάλασσαν τὴν μεγάλην
the mouths having-set-out along the sea the great
ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν, ἣν δὴ Ἐρυθρὴν
as-far to the gulf the Persian which indeed Red
θάλασσαν μετεξέτεροι καλέουσι.
sea some call

20.1 Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος· πόθον
by-Nearchus and has-been-told about these this the account longing
μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν
indeed to-be for-Alexander to-sail-round the sea the
ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν,
from Indians as-far to the Persian
20.2 ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλόου τὸ μῆκος καὶ μή τινι
to-hesitate but him of-the both voyage the length and lest with-some
ἄρα χώρῃ ἐρήμῃ ἐγκύρσας ἢ ὅρμων ἀπόρῳ ἢ οὐ
then country desert having-met or of-anchorages lacking or not
συμμέτρως ἐχούσῃ τῶν ὡρέων, οὕτω δὴ διαφθαρῇ
suitably having of-the seasons so indeed should-be-destroyed
αὐτῷ ὁ στόλος, καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖσιν ἔργοισιν
for-him the fleet and not trivial stain this upon-the deeds
αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην
his the great having-come-upon the all good-fortune
αὐτῷ ἀφανίσῃ· ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην
for-him should-efface but to-have-prevailed for in-him the desire
τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι.
of-the new something always and strange to-do
20.3 ἀπόρως δὲ ἔχειν ὅντινα οὐκ ἀδύνατόν τε ἐς τὰ
at-a-loss and to-be whom not incapable both for the-things
ἐπινοεύμενα ἐπιλέξαιτο, καὶ ἅμα τῶν ἐν νηὶ ἀνδρῶν,
being-planned he-might-choose and at-the-same-time of-the in ship men
ὅκως τῶν τοιοῦτον στόλον στελλομένων ἀφελεῖ τὸ
how of-the such fleet being-sent he-will-remove the
δεῖμα τοῦ δῆθεν ἠμελημένως αὐτοὺς ἐς προῦπτον κίνδυνον
fear of-the forsooth carelessly them into foreseen danger
ἐκπέμπεσθαι.
to-be-sent-out

λέγει δὲ Νέαρχος ἑωυτῷ ξυνοῦσθαι Ἀλέξανδρον ὅντινα 20.4
says and Nearchus with-himself to-have-consulted Alexander whom
προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου.
he-should-appoint to-lead the fleet
ὡς δὲ ἄλλου καὶ ἄλλου ἐς μνήμην ἰόντα τοὺς μὲν ὡς 20.5
when and other and other to mind coming those indeed as
οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ οὗ ἀπολέγειν, τοὺς δὲ ὡς
not wishing to-run-risks for him to-reject those and as
μαλθακοὺς τὸν θυμόν, τοὺς δὲ ὡς πόθῳ τῆς οἰκηίης
soft in-the spirit those and as by-longing for-the home
κατεχομένους, τοῖσι δὲ ἄλλο καὶ ἄλλο ἐπικαλέοντα, τότε
held to-these and other and other charging then
δὴ αὐτὸν ὑποστάντα εἰπεῖν ὅτι "ὦ βασιλεῦ, ἐγώ
indeed himself having-undertaken to-have-said that O king I
τοι ὑποδέκομαι ἐξηγήσεσθαι τοῦ στόλου, καὶ εἰ τὰ
to-you undertake to-be-going-to-lead the fleet and if the-things
ἀπὸ τοῦ θείου συνεπιλαμβάνοιτο, περιάξω τοι σῴας
from the divine should-assist I-will-bring-round for-you safe
τὰς νέας καὶ τοὺς ἀνθρώπους ἔστε ἐπὶ τὴν Περσίδα, εἰ
the ships and the men as-far to — Persis if
δὴ πλωτός τέ ἐστιν ὁ ταύτῃ πόντος καὶ τὸ ἔργον
indeed navigable both is the there sea and the task
οὐκ ἄπορον γνώμῃ ἀνθρωπίνῃ."
not impossible for-mind human
Ἀλέξανδρον δὲ λόγῳ μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε 20.6
Alexander and in-word indeed not to-have-said to-wish into such
ταλαιπωρίην καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑωυτοῦ φίλων
hardship and such danger of-the some his-own friends
ἐμβάλλειν, αὐτὸς δὲ ταύτῃ δὴ καὶ μᾶλλον οὐκ ἀνιέναι
to-throw he and in-this-way indeed also more not to-relax
ἀλλὰ λιπαρέειν.
but to-persist

20.7 οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν
so indeed to-have-welcomed both Alexander — of-Nearchus the
προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου
eagerness and to-have-set him to-command the fleet
παντός.
whole

20.8 καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅ τι περ ἐπὶ
and then indeed still more of-the army what ever indeed for
τῷ παραπλόῳ τῷδε ἐτάσσετο καὶ τὰς ὑπηρεσίας ἴλεω
the coasting-voyage this was-assigned and the crews well-disposed
ἔχειν τὴν γνώμην, ὅτι δὴ Νέαρχόν γε οὔποτε ἂν
to-have the spirit that indeed Nearchus at-least never —
Ἀλέξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ
Alexander would-have-thrown-away into danger manifest if
μή σφι σωθήσεσθαι ἔμελλεν.
not them to-be-going-to-be-saved was-about

20.9 λαμπρότης τε πολλὴ τῇ παρασκευῇ ἐπεοῦσα καὶ κόσμος
splendor both much on-the preparation being-upon and adornment
τῶν νεῶν, καὶ σπουδαὶ τῶν τριηράρχων ἀμφὶ τὰς
of-the ships and zeal of-the trierarchs about the
ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρεπέες καὶ τοὺς
crews both and the complements outstanding also those
πάντη δὴ κατοκνέοντας ἐς ὁρμὴν ἅμα καὶ ἐλπίδας
wholly indeed shrinking to eagerness together-with also hopes
χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου ἐπηρκότα ἦν.
better for the whole task having-raised had

20.10 πολλὸν δὲ δὴ συνεπιλαβέσθαι ἐς εὐθυμίην τῇ στρατιῇ
much and indeed to-have-helped for cheerfulness for-the army
τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ Ἰνδοῦ τὰ
the indeed himself Alexander having-set-out down — Indus the
στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόντον, σφάγιά τε
mouths both to-have-sailed-out into the sea victims both

Ποσειδῶνι ἐντεμεῖν καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι,
to-Poseidon to-have-slaughtered and as-many-as other gods of-the-sea
καὶ δῶρα μεγαλοπρεπέα τῇ θαλάσσῃ χαρίσασθαι.
and gifts magnificent to-the sea to-have-given
τῇ τε ἄλλῃ τῇ Ἀλεξάνδρου παραλόγῳ εὐτυχίῃ πεποιθότας 20.11
in-the both other the of-Alexander unexpected good-fortune trusting
οὐδὲν ὅ τι οὐ τολμητόν τε ἐκείνῳ καὶ ἐπικτὸν
nothing what ever not daring both for-that-one and achievable
ἡγέεσθαι.
to-consider
ὡς δὲ τὰ ἐτήσια πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος 21.1
when and the etesian winds lulled which indeed of-the summer
τὴν ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα ὡς
the season whole prevail from the open-sea blowing-on as
ἐπὶ τὴν γῆν, καὶ ταύτῃ ἄπορον τὸν πλόον ποιέοντα,
toward the land and in-this-way impassable the voyage making
τότε δὴ ὥρμηντο ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου,
then indeed they-set-out under archon at-Athens Cephisodorus
εἰκάδι τοῦ Βοηδρομιῶνος μηνός, κατ᾽ ὅτι Ἀθηναῖοι
on-the-twentieth of-the Boedromion month according-to what Athenians
ἄγουσιν· ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον, ***
reckon as and Macedonians both and Asians reckoned (lacuna)
τὸ ἑνδέκατον βασιλεύοντος Ἀλεξάνδρου.
the eleventh reigning Alexander
θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διὶ Σωτῆρι, 21.2
sacrifices and also Nearchus before the putting-out to-Zeus Savior
καὶ ἀγῶνα ποιέει καὶ οὗτος γυμνικόν. ἄραντες δὲ ἀπὸ
and contest holds also this-one gymnastic having-set-out and from
τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρῃ κατὰ τὸν Ἰνδὸν
the roadstead on-the first day on — Indus
ὁρμίζονται ποταμὸν πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν
they-anchor river at canal great and remain

αὐτοῦ δύο ἡμέρας· Στοῦρα δὲ οὔνομα ἦν τῷ χώρῳ·
there two days Stura and name was to-the place
στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν.
stades from the roadstead about a-hundred

21.3 τῇ τρίτῃ δὲ ἄραντες ἔπλωον ἔστε ἐπὶ διώρυχα ἄλλην
on-the third and having-set-out they-sailed as-far to canal another
σταδίους τριήκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα·
stades thirty salty already this the canal
ἀνῄει γὰρ ἡ θάλασσα ἐς αὐτήν, μάλιστα μὲν ἐν τῇσι
came-up for the sea into it most indeed in the
πλημμύρῃσιν, ὑπέμενε δὲ καὶ ἐν τῇσιν ἀμπώτεσι τὸ ὕδωρ
flood-tides remained and also in the ebb-tides the water
μεμιγμένον τῷ ποταμῷ· Καύμαρα δὲ οὔνομα ἦν τῷ
mixed with-the river Caumara and name was to-the
χώρῳ.
place

21.4 ἐνθένδε εἴκοσι σταδίους καταπλώσαντες ἐς Κορέεστιν
thence twenty stades having-sailed-down at Coreestis
ὁρμίζονται ἔτι κατὰ τὸν ποταμόν. ἐνθένδε ὁρμηθέντες
they-anchor still on the river thence having-set-out
ἔπλωον οὐκ ἐπὶ πολλόν·
they-sailed not for long

21.5 ἔρμα γὰρ ἐφάνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ
reef for appeared to-them at the mouth the there
τοῦ Ἰνδοῦ, καὶ τὰ κύματα ἐρρόχθεε πρὸς τῇ ἠιόνι, καὶ
— *of-Indus and the waves roared against the shore and*
ἡ ἠιὼν αὕτη τρηχέα ἦν.
the shore this rough was

ἀλλὰ ἵναπερ μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα 21.6
but where-indeed soft was of-the reef there a-canal
ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας,
having-made for stades five they-brought-through the ships
ἐπειδὴ ἡ πλήμμυρα ἐπῆλθεν ἡ ἐκ τοῦ πόντου.
when the flood-tide came-on the from the sea
ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν 21.7
having-sailed-round and stades fifty and hundred
ὁρμίζονται ἐς Κρώκαλα νῆσον ψαμμώδεα, καὶ μένουσιν
they-anchor at Crocala island sandy and remain
αὐτοῦ τὴν ἄλλην ἡμέρην.
there the next day
προσοικέει δὲ ταύτῃ ἔθνος Ἰνδικόν, οἱ Ἀράβιες καλεόμενοι, 21.8
dwells-near and this people Indian the Arabies called
ὧν καὶ ἐν τῇ μέζονι συγγραφῇ μνήμην ἔσχον, καὶ
of-whom also in the greater history mention I-made and
ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς
that they-are named-after river Arabis which through the land
αὐτῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν
of-them flowing flows-out into sea bounding of-these both the
χώρην καὶ τὴν Ὠρειτέων,
country and the of-Oreitae
ἐκ δὲ Κρωκάλων ἐν δεξιῇ μὲν ἔχοντες οὖρος τὸ 21.9
from and Crocala on right indeed having mountain the
καλεόμενον Εἶρον, ἐν ἀριστερῇ δὲ νῆσον ἁλιτενέα ἔπλωον·
called Eirus on left and island low-lying they-sailed
ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠιόνι κόλπον στεινὸν ποιέει.
the and island stretched-along the shore gulf narrow makes

21.10 διεκπλώσαντες δὲ ταύτην ὁρμίζονται ἐν λιμένι εὐόρμῳ.
having-sailed-through and this they-anchor in harbor good-for-anchoring
ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμὴν Νεάρχῳ ἔδοξεν,
because and great both and fine the harbor to-Nearchus seemed
ἐπονομάζει αὐτὸν Ἀλεξάνδρου λιμένα.
he-names it of-Alexander harbor

21.11 νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος ὅσον σταδίους
island and is at the mouth of-the harbor about stades
δύο ἀπέχουσα· Βίβακτα οὔνομα τῇ νήσῳ, ὁ δὲ χῶρος
two distant Bibacta name to-the island the and place
ἅπας Σάγγαδα ἐκαλέετο. ἡ δὲ νῆσος καὶ τὸν λιμένα,
whole Sangada was-called the and island also the harbor
προκειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ ἐποίεεν.
lying-before before the open-sea itself made

21.12 ἐνθαῦτα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ
there winds great from the sea blew and
συνεχέα, καὶ Νέαρχος δείσας τῶν βαρβάρων μή τινες
continuous and Nearchus having-feared of-the barbarians lest some
συνταχθέντες ἐπ᾽ ἁρπαγὴν τοῦ στρατοπέδου τραποίατο,
having-gathered for plunder of-the camp should-turn
ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχεϊ.
fortifies the place with-stone wall

21.13 τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο. καὶ
four and and twenty days the stay were and
λέγει ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται,
he-says that mussels both they-hunted the sea the soldiers
καὶ ὄστρεα δὲ καὶ τοὺς σωλῆνας καλεομένους, ἄτοπα
and oysters and and the razor-shells called strange
τὸ μέγαθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρῃ θαλάσσῃ
in-the size as with-those in this the our sea
συμβαλέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο.
to-compare and water that salty was-drunk

The fleet coasts from anchorage to anchorage past Domae, Saranga, and the Women's Harbor to the mouth of the Arabis, where the land of the Oreitae begins. A gale sinks two warships and a light boat, and Nearchus camps ashore at Cocala, where Leonnatus has defeated the Oreitae; there he takes on grain, repairs his ships, and trades his slack sailors for Leonnatus' soldiers. At the Tomerus his soldiers swim ashore and rout six hundred hairy, half-naked men with fire-hardened spears. Nearchus reports that while they coasted India the shadows fell toward the south and vanished at noon, and that stars once high had gone; Arrian finds this credible, since at Syene and Meroe noon is shadowless.

ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἱ ἀνήγοντο. 22.1
at-the-same-time both the wind ceased and they put-out
καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς
and having-crossed stades about sixty they-anchor by
αἰγιαλῷ ψαμμώδεϊ· νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη.
shore sandy island and lay-off the shore deserted
ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν·
this and shelter having-made they-anchored
Δόμαι οὔνομα τῇ νήσῳ. ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, 22.2
Domae name to-the island water and not was on the shore
ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους
but having-gone-forward into the interior about twenty stades
ἐπιτυγχάνουσιν ὕδατι καλῷ.
they-find water good
τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐτοῖσιν ὁ πλόος ἐγίνετο 22.3
on-the and next-day into night for-them the voyage was
ἐς Σάραγγα σταδίους τριηκοσίους, καὶ ὁρμίζονται πρὸς
to Saranga stades three-hundred and they-anchor by
αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους.
shore and water was from the shore about eight stades

22.4 ἐνθένδε πλώσαντες ὁρμίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ.
thence having-sailed they-anchor at Sacala place deserted
καὶ διεκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοισι
and having-sailed-through rocks two so somewhat to-one-another
πελάζοντας, ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι
approaching so-that the oar-blades of-the ships to-touch
ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, κατορμίζονται ἐν
on-this-side and on-that-side of-the rocks they-anchor at
Μοροντοβάροισι, σταδίους διελθόντες ἐς τριηκοσίους,
Morontobara stades having-gone-through about three-hundred
22.5 ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος καὶ βαθὺς καὶ ἄκλυστος,
the and harbor great and round and deep and sheltered
ὁ δὲ ἔσπλοος ἐς αὐτὸν στεινός. τοῦτον τῇ γλώσσῃ
the but entrance into it narrow this in-the tongue
τῇ ἐπιχωρίῃ Γυναικῶν λιμένα ἐκάλεον, ὅτι γυνὴ τοῦ
the native of-Women harbor they-called because a-woman of-the
χώρου τούτου πρώτη ἐπῆρξεν.
place this first ruled
22.6 ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλωον, κύμασί τε
when and through the rocks they-sailed-out with-waves both
μεγάλοισιν ἐνέκυρσαν καὶ τῇ θαλάσσῃ ῥοώδεϊ. ἀλλὰ
great they-met-with and the sea rushing but
ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον
to-sail-round for beyond the rocks great work
ἐφαίνετο.
appeared
22.7 ἐς δὲ τὴν ὑστεραίην ἔπλωον νῆσον ἐν ἀριστερῇ ἔχοντες
on and the next-day they-sailed an-island on left having
πρὸ τοῦ πελάγεος οὕτω τι τῷ αἰγιαλῷ συναφέα
before the open-sea so somewhat to-the shore joined
ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ
so-that to-guess — a-canal to-be the middle of-the both shore

καὶ τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ
and of-the island stades the all seventy of-the
διεκπλόου. καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ
passage and on both the shore trees were many
καὶ δασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος.
and thick and the island with-wood of-every-kind shady
ὑπὸ δὲ τὴν ἕω ἔπλωον ἔξω τῆς νήσου κατὰ ῥηχίην 22.8
toward and the dawn they-sailed outside the island along surf
στεινήν· ἔτι γὰρ ἀνάπωτις κατεῖχε. πλώσαντες δὲ ἐς
narrow still for ebb-tide prevailed having-sailed and about
ἑκατὸν καὶ εἴκοσι σταδίους ὁρμίζονται ἐν τῷ στόματι
hundred and twenty stades they-anchor in the mouth
τοῦ Ἀράβιος ποταμοῦ· καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς
of-the Arabis river and harbor great and fine at
τῷ στόματι· ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος
the mouth water and not was drinkable — for of-Arabis
αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν.
the mouths mixed with-the sea were
ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω προχωρήσαντες 22.9
but forty stades into the upstream having-advanced
λάκκῳ ἐπιτυγχάνουσι, καὶ ἔνθεν ὑδρευσάμενοι ὀπίσω
a-pit they-find and thence having-drawn-water back
ἀπενόστησαν. νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ καὶ ἐρήμη,
they-returned island and by the harbor high and deserted
καὶ περὶ ταύτην ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν
and around this of-oysters both and fishes of-all-kinds
θήρη. μέχρι μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν ταύτῃ
catch as-far-as indeed this Arabies last of-Indians there
ᾠκισμένοι, τὰ δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον.
settled the-parts and from this Oreitae held

23.1 ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολέων τοῦ Ἀράβιος παρέπλωον
having-set-out and from the mouths — of-Arabis they-coasted
τῶν Ὠρειτέων τὴν χώρην. καὶ ὁρμίζονται ἐν Παγάλοισι,
of-the Oreitae the country and they-anchor at Pagala
πλώσαντες σταδίους ἐς διηκοσίους, πρὸς ῥηχίῃ. ἀλλὰ
having-sailed stades about two-hundred by surf but
ἀγκύρῃσι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. τὰ μὲν ὦν
for-anchors for suitable was the place the indeed then
πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν, οἱ δὲ ἐπ᾽
crews rode-at-anchor in the ships the-others and for
ὕδωρ ἐκβάντες ὑδρεύοντο.
water having-disembarked drew-water

23.2 τῇ δ᾽ ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ
on-the and next-day having-put-out at-the-same-time-with day
καὶ πλώσαντες σταδίους ἐς τετρακοσίους κατάγονται
and having-sailed stades about four-hundred they-put-in
ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ.
in-the-evening at Cabana and they-anchor by shore deserted
ἐνθαῦτα ῥηχίη τρηχέα ἦν, καὶ ἐπὶ τῷδε μετεώρους τὰς
there surf rough was and for this out-at-sea the
νέας ὡρμίσαντο.
ships they-anchored

23.3 κατὰ τοῦτον τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας
during this the voyage a-wind catches the ships
μέγα ἐκ πόντου, καὶ νέες δύο μακραὶ διαφθείρονται
great from sea and ships two long are-destroyed
ἐν τῷ πλόῳ, καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σῴζονται
in the voyage and a-light-boat the but men are-saved
ἀπονηξάμενοι, ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο.
having-swum-away because not far from-the land the voyage was

ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλώουσιν ἔστε ἐπὶ 23.4
about and middle night having-put-out they-sail as-far to
Κώκαλα, ἃ τοῦ αἰγιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε
Cocala which from-the shore whence they-set-out was-distant
σταδίους διηκοσίους· καὶ αἱ μὲν νέες σαλεύουσαι ὥρμεον,
stades two-hundred and the indeed ships riding lay-at-anchor
τὰ πληρώματα δὲ ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ
the crews and having-disembarked Nearchus on the land
ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ
bivouacked because for long having-suffered-hardship in the sea
ἀναπαύσασθαι ἐπόθεον. στρατόπεδον δὲ περιεβάλετο τῶν
to-rest they-longed camp and he-threw-around of-the
βαρβάρων τῆς φυλακῆς εἵνεκα.
barbarians for-the guard for-the-sake
ἐν τούτῳ τῷ χώρῳ Λεόννατος, ὅτῳ τὰ Ὠρειτέων ἐξ 23.5
in this the place Leonnatus to-whom the-affairs of-Oreitae by
Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ Ὠρείτας τε
Alexander had-been-entrusted in-battle great defeats Oreitae both
καὶ ὅσοι Ὠρείτῃσι συνεπελάβοντο τοῦ ἔργου. καὶ κτείνει
and as-many-as with-Oreitae took-part-in the action and kills
αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας· τῶν δὲ
of-them six-thousand and the leaders all of-those and
σὺν Λεοννάτῳ ἱππέες μὲν ἀποθνήσκουσι πεντεκαίδεκα,
with Leonnatus cavalry indeed die fifteen
τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολλοφάνης
of-the and infantry others both not many and Apollophanes
ὁ Γαδρωσίων σατράπης.
the of-Gadrosians satrap

23.6 ταῦτα μὲν δὴ ἐν τῇ ἄλλῃ συγγραφῇ ἀναγέγραπται, καὶ
these-things indeed indeed in the other history have-been-recorded and
ὅκως Λεόννατος ἐπὶ τῷδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου
how Leonnatus for this was-crowned by Alexander
χρυσέῳ στεφάνῳ.
with-golden crown

23.7 ἐνθαῦτα σῖτος ἦν νενημένος κατὰ πρόσταγμα Ἀλεξάνδρου
there grain was heaped-up by order of-Alexander
ἐς ἐπισιτισμὸν τῷ στρατῷ, καὶ ἐμβάλλονται σιτία
for provisioning for-the force and they-put-aboard food
ἡμερέων δέκα ἐς τὰς νέας.
of-days ten into the ships

23.8 καὶ τῶν νεῶν ὅσαι ἐπεπονήκεσαν κατὰ τὸν πλόον
and of-the ships as-many-as had-been-damaged during the voyage
μέχρι τοῦδε ἐπεσκεύασαν, καὶ τῶν ναυτέων ὅσοι ἐν
up-to this they-repaired and of-the sailors as-many-as in
τῷ ἔργῳ βλακεῦσαι ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν
the work to-be-slack appeared to-Nearchus these indeed
πεζῇ ἄγειν Λεοννάτῳ ἔδωκεν, αὐτὸς δὲ ἀπὸ τῶν σὺν
on-foot to-lead to-Leonnatus he-gave himself and from the with
Λεοννάτῳ στρατιωτέων συμπληροῖ τὸ ναυτικόν.
Leonnatus soldiers fills-up the fleet

24.1 ἐνθένδε ὁρμηθέντες ἔπλωον ἀκραεί, καὶ διελθόντες
thence having-set-out they-sailed with-a-strong-wind and having-gone-through
σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῷ
stades about five-hundred they-anchored by river
χειμαρρόῳ· Τόμηρος οὔνομα ἦν τῷ ποταμῷ.
torrent Tomerus name was to-the river

24.2 καὶ λίμνη ἦν ἐπὶ τῇσιν ἐκβολῇσι τοῦ ποταμοῦ, τὰ
and lagoon was at the mouths of-the river the
δὲ βραχέα τὰ πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν
and shallows the by the shore inhabited men in

καλύβῃσι πνιγηρῇσι. καὶ οὗτοι ὡς προσπλώοντας εἶδον,
huts stifling and these when sailing-toward they-saw
ἐθάμβησάν τε καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν
were-amazed both and having-stretched-out themselves along the shore
ἐτάχθησαν ὡς ἀπομαχεόμενοι πρὸς τοὺς ἐκβαίνοντας.
were-drawn-up as fighting-off against those disembarking
λόγχας δὲ ἐφόρεον παχέας, μέγαθος ὡς ἑξαπήχεας· 24.3
spears and they-carried thick in-size about six-cubits
ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτοῖσι
point and not was-on iron but the sharp-end for-them
πεπυρακτωμένον τωὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς
hardened-in-fire the-same made in-number and they-were about
ἑξακόσιοι.
six-hundred
καὶ τούτους Νέαρχος ὡς ὑπομένοντάς τε καὶ 24.4
and these Nearchus when awaiting both and
παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν
drawn-up saw the indeed ships to-hold-back
κελεύει ἐντὸς βέλεος, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν
he-orders within missile-range so-that the arrows onto the land
ἀπ᾽ αὐτέων ἐξικνέεσθαι· αἱ γὰρ τῶν βαρβάρων λόγχαι
from them to-reach the for of-the barbarians spears
ἀγχέμαχοι μὲν ἄφοβοι δὲ ἐς τὸ ἐσακοντίζεσθαι ἦσαν.
for-close-fighting indeed not-fearsome but for the to-be-hurled were
αὐτὸς δὲ τῶν στρατιωτέων ὅσοι αὐτοί τε κουφότατοι 24.5
himself and of-the soldiers as-many-as themselves both lightest
καὶ κουφότατα ὡπλισμένοι τοῦ τε νέειν δαημονέστατοι,
and most-lightly armed in-the both to-swim most-skilled
τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ συνθήματος.
these and to-swim-out he-orders at signal

24.6 πρόσταγμα δέ σφισιν ἦν, ὅκως τις ἐκνηξάμενος σταίη
order and to-them was when anyone having-swum-out should-stand
ἐν τῷ ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον,
in the water to-wait-for the comrade-beside to-him about-to-be
μηδὲ ἐμβάλλειν πρόσθε ἐς τοὺς βαρβάρους, πρὶν ἐπὶ
nor to-charge before at the barbarians until in
τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα· τότε δὲ δρόμῳ
three in depth to-be-formed the phalanx then and at-a-run
ἐπιέναι ἀλαλάζοντας.
to-attack raising-the-war-cry

24.7 ἅμα δὲ ἐρρίπτεον ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι
at-the-same-time and threw themselves those for this posted
ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως, καὶ
from the ships into the sea and swam swiftly and
ἵσταντο ἐν κόσμῳ, καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι
stood in order and phalanx from themselves having-made
δρόμῳ ἐπῄεσαν αὐτοί τε ἀλαλάζοντες τῷ Ἐνυαλίῳ καὶ
at-a-run attacked themselves both raising-the-war-cry — to-Enyalius and
οἱ ἐπὶ τῶν νεῶν συνεπήχεον, τοξεύματά τε καὶ ἀπὸ
those on the ships shouted-with arrows both and from
μηχανέων βέλεα ἐφέρετο ἐς τοὺς βαρβάρους.
engines missiles were-carried against the barbarians

24.8 οἳ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ
they and at-the both brilliance of-the arms panic-struck and
τῆς ἐφόδου τὴν ὀξύτητα καὶ πρὸς τῶν τοξευμάτων τε
of-the attack the swiftness and by the arrows both
καὶ τῶν ἄλλων βελέων βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι
and the other missiles being-hit as indeed half-naked
ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι.
men not-even a-little to resistance having-turned give-way

καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἳ δὲ
and the-ones indeed there fleeing die the-others and
καὶ ἁλίσκονται· ἔστι δὲ οἳ καὶ διέφυγον ἐς τὰ οὔρεα.
also are-captured there-are and who also escaped to the mountains
ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα δασέες καὶ τὰς 24.9
were and those captured in-the both other-things hairy and the
κεφαλάς, καὶ τοὺς ὄνυχας θηριώδεες· τοῖσι γὰρ δὴ ὄνυξιν
heads and the nails beast-like the for indeed with-nails
ὅσα σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο καὶ τοὺς ἰχθύας τούτοισι
as with-iron to-use they-were-said and the fishes with-these
παρασχίζοντες κατεργάζεσθαι καὶ τῶν ξύλων ὅσα
splitting to-prepare and of-the woods as-many-as
μαλθακώτερα. τὰ δὲ ἄλλα τοῖσι λίθοισι τοῖσιν ὀξέσιν
softer the and others with-the stones the sharp
ἔκοπτον· σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον
they-cut iron for to-them not was clothing and they-wore
δέρματα θηρήια, οἳ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ παχέα.
skins of-beasts some and also of-fishes of-the great the thick
ἐνθαῦτα νεωλκέουσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι 25.1
there they-haul-up the ships and as-many-as damaged
αὐτέων ἐπισκευάζουσι. τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο,
of-them they-repair on-the and sixth day they-set-out
καὶ πλώσαντες σταδίους ἐς τριηκοσίους ἀπικνέονται ἐς
and having-sailed stades about three-hundred they-arrive at
χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτέων γῆς· Μάλανα
a-place which indeed last was of-the of-Oreitae land Malana
τῷ χώρῳ οὔνομα.
to-the place name
Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν, 25.2
Oreitae and as-many-as up from sea dwell
ἐσταλμένοι μὲν κατάπερ Ἰνδοί εἰσι, καὶ τὰ ἐς πόλεμον
equipped indeed like Indians are and the-things for war

ὡσαύτως παραρτέονται· γλῶσσα δὲ ἄλλη αὐτοῖσι τοῖσι
likewise prepare language and other for-them for-whom
καὶ ἄλλα νόμαια.
also other customs

25.3 μῆκος τοῦ παραπλόου παρὰ μὲν χώρην τὴν Ἀραβίων
length of-the coasting-voyage along indeed country the of-Arabies
ἐς χιλίους μάλιστα σταδίους, ἔνθενπερ ὡρμήθησαν, παρὰ
about thousand about stades whence-very they-set-out along
δὲ τὴν Ὠρειτέων γῆν ἑξακόσιοι καὶ χίλιοι.
and the of-Oreitae land six-hundred and thousand

25.4 παραπλωόντων δὲ τὴν Ἰνδῶν γῆν τὸ ἐνθεῦτεν γὰρ οὐκέτι
coasting-along and the of-Indians land the from-there for no-longer
Ἰνδοί εἰσι λέγει Νέαρχος ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ τωὐτὸ
Indians are says Nearchus that the shadows for-them not the-same
ἐποίεον·
did

25.5 ἀλλὰ ὁκότε μὲν ἐπὶ πολλὸν τοῦ πόντου ὡς πρὸς μεσαμβρίην
but whenever indeed for far of-the sea as to south
προχωρήσειαν, αἱ δὲ καὶ αὐταὶ πρὸς μεσαμβρίην
they-advanced they and also themselves to south
τετραμμέναι ἐφαίνοντο· ὁκότε δὲ τὸ μέσον τῆς ἡμέρης
turned appeared whenever and the middle of-the day
ἐπέχοι ὁ ἥλιος, ἤδη καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι.
held the sun already also void of-shadow all were-seen by-them

25.6 τῶν τε ἀστέρων ὅσους πρόσθε μετεώρους κατεώρων,
of-the both stars as-many-as before aloft they-saw
οἳ μὲν ἀφανέες πάντη ἦσαν, οἳ δὲ πρὸς αὐτῇ τῇ
the-ones indeed invisible wholly were the-others and by very the
γῇ ἐφαίνοντο, καταδύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες
earth appeared setting both and at-once rising
οἱ πάλαι ἀειφανέες ἐόντες.
those long-ago always-visible being

καὶ ταῦτα οὐκ ἀποικότα δοκέει μοι ἀναγράψαι Νέαρχος· 25.7
and these-things not unlikely seems to-me to-have-recorded Nearchus
ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπεὰν τροπὰς ἄγῃ
since also in Syene the Egyptian when solstice holds
θέρεος ὥρῃ ὁ ἥλιος, φρέαρ ἀποδεδειγμένον ἐστί, καὶ
in-the-summer season the sun a-well designated is and
τοῦτο ἄσκιον ἐν μεσαμβρίῃ φαίνεται· ἐν Μερόῃ δὲ πάντα
this shadowless at noon appears in Meroe and all
ἄσκια τῇ αὐτῇ ὥρῃ.
shadowless at-the same hour
οἰκὸς ὦν καὶ ἐν Ἰνδοῖσιν, ἅτε πρὸς μεσαμβρίην 25.8
likely then also among Indians as toward south
ᾠκισμένοισι, τωὐτὰ δὴ πάθεα ἐπέχειν, καὶ μάλιστα
settled the-same indeed phenomena to-occur and most
δὴ κατὰ τὸν πόντον τὸν Ἰνδικόν, ὅσῳ μᾶλλον
indeed in the sea the Indian by-as-much-as more
αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσαμβρίην κέκλιται. ταῦτα
for-them the sea toward south slopes these-things
μὲν δὴ ὧδε ἐχέτω.
indeed indeed thus let-stand

Past Gadrosia, where the army suffered so much, the fleet coasts the land of the Fish-eaters. The anchorages are poor and food scarce; a local guide, Hydraces, helps them from Mosarna. At one town Nearchus enters as a visitor, seizes the gate with a few archers, and makes the people give up their meal of fish and some grain. Hunger drives the men on, and Nearchus keeps the ships offshore so they cannot desert. The Fish-eaters catch fish with palm-bark nets at low tide, grind them into meal, feed them to their sheep, and build houses from whale bones.

26.1 ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖχον,
beyond and Oreitae in indeed interior Gadrosians held
ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ
whose the country with-difficulty went-through together-with the army
Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ
Alexander and evils so-many suffered as-many-as not-even the
σύμπαντα τῆς συμπάσης στρατηλασίης. ταῦτά μοι ἐν
all of-the whole expedition these-things by-me in
τῇ μέζονι συγγραφῇ ἀναγέγραπται.
the greater history have-been-recorded

26.2 κάτω δὲ Γαδρωσίων παρὰ τὴν θάλασσαν αὐτὴν οἱ
below and of-Gadrosians along the sea itself the
Ἰχθυοφάγοι καλεόμενοι οἰκέουσι. παρὰ τούτων τὴν γῆν
Fish-eaters called dwell along these the land
ἔπλωον. τῇ μὲν δὴ πρώτῃ ἡμέρῃ περὶ δευτέρην
they-sailed on-the indeed indeed first day about second
φυλακὴν ἀναχθέντες καταίρουσιν ἐς Βαγίσαρα· στάδιοι
watch having-put-out they-put-in at Bagisara stades
τοῦ παραπλόου ἑξακόσιοι.
of-the coasting-voyage six-hundred

λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, 26.3
harbor both is-in there good-for-anchoring and village Pasira
ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους, καὶ οἱ
distant from sea sixty stades and the
πρόσοικοι αὐτῆς Πασιρέες.
neighbors of-it Pasireans
ἐς δὲ τὴν ὑστεραίην πρωιαίτερον τῆς ὥρης ἀναχθέντες 26.4
on and the next-day earlier than-the hour having-put-out
περιπλώουσιν ἄκρην ἐπὶ πολλόν τε ἀνέχουσαν ἐς τὸν
they-sail-round a-cape for far both projecting into the
πόντον καὶ ταύτην ὑψηλὴν καὶ κρημνώδεα.
sea and this high and precipitous
φρέατα δὲ ὀρύξαντες, ὕδωρ ὀλίγον καὶ πονηρὸν ἀρυσάμενοι 26.5
wells and having-dug water little and bad having-drawn
ταύτῃ μὲν τῇ ἡμέρῃ ἐπὶ ἀγκυρέων ὥρμεον, ὅτι ῥηχίη
on-this indeed the day at anchors they-lay because surf
κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν·
along the shore stood-up
ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους 26.6
on and the next-day they-put-in at Colta stades
ἐλθόντες διηκοσίους. ἐνθένδε ἕωθεν πλώσαντες σταδίους
having-gone two-hundred thence at-dawn having-sailed stades
ἑξακοσίους ἐν Καλάμοισιν ὁρμίζονται. κώμη πρὸς τῷ
six-hundred at Calama they-anchor a-village by the
αἰγιαλῷ φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι ἐπεφύκεσαν, καὶ
shore palms and around it few had-grown and
βάλανοι ἐπ᾽ αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν
dates on them green were-on and an-island about hundred
σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη οὔνομα.
stades from the shore distant Carnine name

26.7 ἐνθαῦτα ξείνια Νεάρχῳ προσφέρουσιν οἱ κωμῆται πρόβατα
there guest-gifts to-Nearchus bring the villagers sheep
καὶ ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν
and fishes and of-the sheep the meat he-says that was
ἰχθυώδεα, ἴσα τοῖσι τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι
fishy like to-those of-the birds the sea because
καὶ αὐτὰ ἰχθύας σιτέεται· ποίη γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ.
also they fishes eat grass for not is-in in the country
26.8 ἀλλὰ τῇ ὑστεραίῃ πλώσαντες ἐς σταδίους διηκοσίους
but on-the next-day having-sailed about stades two-hundred
ὁρμίζονται πρὸς αἰγιαλῷ καὶ κώμῃ ἀπὸ θαλάσσης ἐς
they-anchor by shore and village from sea about
σταδίους τριήκοντα ἀπεχούσῃ· ἡ μὲν κώμη Κίσσα
stades thirty distant the indeed village Cissa
ἐκαλέετο, Καρβὶς δὲ τῷ αἰγιαλῷ οὔνομα ἦν.
was-called Carbis and to-the shore name was
26.9 ἐνθαῦτα πλοίοισιν ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων
there with-boats they-meet small such-as fishermen's
πλοῖα οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν,
boats not prosperous them and not they-catch
ἀλλ᾽ ἔφυγον γὰρ κατορμιζομένας κατιδόντες τὰς νέας.
but fled for anchoring having-seen the ships
σῖτός τε αὐτόθι οὐκ ἐνῆν, καὶ ἐπελελοίπει τὴν στρατιὴν
grain both there not was-in and had-failed the army
ὁ πολλός· ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω
the most but goats having-put into the ships so
δὴ ἀπέπλωον. καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον
indeed they-sailed-away and having-sailed-round a-cape high about
πεντήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν
fifty and hundred stades projecting into the

πόντον, κατάγονται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ αὐτόθι
sea they-put-in at harbor sheltered and water there
ἦν, καὶ ἁλιέες ᾤκεον· Μοσαρνὰ οὔνομα ἦν τῷ λιμένι.
was and fishermen dwelt Mosarna name was to-the harbor
ἐνθένδε κατηγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι 27.1
thence guide of-the voyage says Nearchus that
συνέπλωσεν αὐτοῖσιν Ὑδράκης οὔνομα, Γαδρώσιος· ὑπέστη
sailed-with them Hydraces name Gadrosian undertook
δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμανίης. τὰ
and Hydraces to-bring them as-far-as Carmania the-parts
δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν τι
and from this no-longer difficult were but more somewhat
εὔορμα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν.
with-good-anchorage as-far to the gulf the Persian
ἐκ δὲ Μοσαρνῶν νυκτὸς ἄραντες πλώουσι σταδίους 27.2
from and Mosarna by-night having-set-out they-sail stades
ἑπτακοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἐνθένδε
seven-hundred and fifty to Balomus shore thence
ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές
to Barna village stades four-hundred where palms
τε πολλοὶ ἐνῆσαν καὶ κῆπος, καὶ ἐν τῷ κήπῳ μύρσιναι
both many were-in and a-garden and in the garden myrtles
ἐπεφύκεσαν καὶ ἄλλα ἄνθεα, ἀπ᾽ ὅτων στεφανώματα
had-grown and other flowers from which garlands
τοῖσι κωμήτῃσιν ἐπλέκετο·
for-the villagers were-woven
ἐνθαῦτα πρῶτον δένδρεά τε εἶδον ἥμερα, καὶ ἀνθρώπους 27.3
there first trees both they-saw cultivated and men
οὐ πάντη θηριώδεας ἐποικέοντας ἐνθένδε ἐς διηκοσίους
not wholly beast-like dwelling thence about two-hundred

σταδίους περιπλώσαντες καταίρουσιν ἐς Δενδρόβοσα, καὶ
stades having-sailed-round they-put-in at Dendrobosa and
αἱ νέες ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν.
the ships at anchors rode

27.4 ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα λιμένα
thence about middle night having-set-out at Cophas harbor
ἀπίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκπλώσαντες·
they-arrived four-hundred about stades having-sailed-through

27.5 ἐνθαῦτα ἁλιέες τε ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν ἦν σμικρὰ
there fishermen both dwelt and boats to-them were small
καὶ πονηρά· καὶ τῇσι κώπῃσιν οὐ κατὰ σκαλμὸν ἤρεσσον
and poor and with-the oars not by thole they-rowed
ὡς ὁ Ἑλλήνων νόμος, ἀλλὰ τὸ ὕδωρ ἀναβάλλοντες
as the of-Greeks custom but the water throwing-up
ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκάπτοντες τὴν γῆν.
on-this-side and on-that-side as those digging the earth
ὕδωρ δὲ πολλόν τε ἦν ἐν τῷ λιμένι καὶ καθαρόν.
water and much both was in the harbor and clean

27.6 περὶ δὲ πρώτην φυλακὴν ἄραντες καταίρουσιν ἐς Κύιζα,
about and first watch having-set-out they-put-in at Cyiza
ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες, ἵνα αἰγιαλός
about eight-hundred stades having-sailed-through where shore
τε ἔρημος ἦν καὶ ῥηχίη. αὐτόθι ὧν ἐπ᾽ ἀγκυρέων ὥρμεον,
both deserted was and surf there then at anchors they-lay
κατὰ νέας τε ἐδειπνοποιέοντο.
by ships both they-dined

27.7 ἐνθένδε διεκπλώσαντες σταδίους πεντακοσίους ἀπίκοντο ἔς
thence having-sailed-through stades five-hundred they-arrived at
τινα πόλιν σμικρήν, οἰκεομένην ἐπὶ γηλόφου οὐ πόρρω
a-certain city small inhabited on a-hill not far
τοῦ αἰγιαλοῦ.
from-the shore

καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώρην οἰκός, 27.8
and Nearchus having-noticed that to-be-sown the country likely
λέγει πρὸς Ἀρχίην — συνέπλωε δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ
says to Archias he-sailed-with and Nearchus of-those in repute
ἐὼν Μακεδόνων — πρὸς τοῦτον λέγει ὅτι καταληπτέον
being Macedonians to this-one he-says that to-be-seized
σφίσιν εἴη τὸ χωρίον·
for-them it-would-be the place
ἑκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιῇ σιτία, 27.9
willingly both for not — to-think to-give to-the army food
βίῃ τε οὐκ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ
by-force both not possible both to-be to-take of-siege and and
τριβῆς δεήσειν, σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία. ὅτι δὲ ἡ
delay there-will-need them and to-have-failed the food that and the
γῆ σιτοφόρος, τῇ καλάμῃ τεκμηριοῦσθαι, ἤντινα οὐ πόρρω
land grain-bearing by-the straw to-infer which not far
τοῦ αἰγιαλοῦ ἀπεώρων βαθέαν. ταῦτα ἐπεί σφισιν ἐδόκεε,
from-the shore they-saw deep these-things when to-them seemed-good
τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον,
the indeed other ships he-orders to-get-ready as for voyage
καὶ Ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν πλόον· αὐτὸς δὲ
and Archias for-him prepared the-things for the voyage himself and
ὑπολειφθεὶς μετὰ μιῆς νεὸς ἐπὶ θέαν δῆθεν τῆς πόλιος ᾔει.
left-behind with one ship for viewing forsooth of-the city went
προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως ξείνια 28.1
approaching and for-him toward the walls in-friendly-fashion guest-gifts
ἔφερον ἐκ τῆς πόλιος θύννους τε ἐν κριβάνοισιν
they-brought from the city tunnies both in ovens
ὀπτούς — οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες
baked these for last of-the Fish-eaters dwelling

πρῶτοι αὐτοῖσιν ὤφθησαν οὐκ ὠμοφαγέοντες — καὶ
first by-them were-seen not eating-raw and
πέμματα ὀλίγα καὶ βαλάνους φοινίκων.
cakes few and dates of-palms

28.2 ὁ δὲ ταῦτα μὲν ἄσμενος δέκεσθαι ἔφη, ἐθέλειν δὲ
he and these indeed gladly to-receive said to-wish and
θεήσασθαι τὴν πόλιν· οἳ δὲ εἴων παρελθεῖν.
to-view the city they and allowed to-go-in

28.3 ὡς δὲ ἔσω πυλέων παρῆλθε, δύο μὲν τῶν τοξοτέων
when and inside gates he-went two indeed of-the archers
κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ μετὰ δυοῖν ἄλλοιν
to-hold he-orders the small-gate himself and with two others
καὶ τοῦ ἑρμηνέος ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ ἀνελθὼν
and the interpreter onto the wall the there having-gone-up
ἐσήμηνε τοῖσιν ἀμφὶ Ἀρχίην ὅκως συνεκέετο. τὸν μὲν
signaled to-those around Archias as had-been-agreed the-one indeed
ὧν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον.
then to-signal the-other and having-understood to-do the ordered

28.4 ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες ἐπώκελλόν τε κατὰ
having-seen and the signal the Macedonians ran-aground both in
τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῇ ἐς τὴν θάλασσαν, οἱ δὲ
haste the ships and leapt-out eagerly into the sea the and
βάρβαροι ἐκπλαγέντες τοῖσι γινομένοισιν ἐπὶ τὰ ὅπλα ἔθεον.
barbarians panic-struck at-the things-happening to the arms ran

28.5 ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχῳ ἐκήρυσσε σῖτον δοῦναι
the and interpreter the with Nearchus proclaimed grain to-give
τῇ στρατιῇ, εἰ σῴην ἐθέλουσιν ἔχειν τὴν πόλιν· οἳ
to-the army if safe they-wish to-have the city they
δὲ ἠρνέοντο εἶναι σφίσι, καὶ ἅμα προσέβαλλον
and denied to-be to-them and at-the-same-time attacked

τῷ τείχεϊ. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ
the wall but drove-back them the archers the around
Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες.
Nearchus from higher-ground shooting
ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω 28.6
when and they-learned held both already and all-but not-yet
ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὴ ἐδέοντο
about-to-be-enslaved for-them the city then indeed they-begged
τοῦ Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα
— Nearchus the indeed grain which-very was for-them having-taken
ἀπαγαγεῖν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι.
to-carry-off the city but not to-destroy
Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς 28.7
Nearchus and — indeed Archias orders to-seize the
πύλας καὶ τὸ κατ᾽ αὐτὰς τεῖχος, αὐτὸς δὲ συμπέμπει
gates and the by them wall himself and sends-with
τοὺς κατοψομένους τὸν σῖτον εἰ ἀδόλως δεικνῦσιν.
those about-to-inspect the grain if without-guile they-show
οἳ δὲ τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον 28.8
they and the indeed from the fishes the baked ground
ἄλευρον πολλὸν ἐδείκνυν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας·
meal much showed wheat and and barley little
καὶ γὰρ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων,
and for they-happened with-food indeed the from the fishes
τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψῳ διαχρεόμενοι.
the and loaves as relish using
ὡς δὲ τὰ ἐόντα ἐπεδείκνυν, οὕτω δὴ ἐκ τῶν παρεόντων 28.9
when and the existing-things they-showed so indeed from the present-things
ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρῃ, ἥντινα
having-provisioned they-put-out and they-anchor at a-cape which
οἱ ἐπιχώριοι ἱρὴν Ἡλίου ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγεια.
the natives sacred of-Sun held name to-the cape Bageia

29.1 ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι σταδίους
thence about middle night having-set-out they-sail-through stades
ἐς χιλίους ἐς Τάλμενα λιμένα εὔορμον. ἐνθένδε ἐς
about thousand to Talmena harbor good-for-anchoring thence to
Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακοσίους, ἵνα
Canasis city deserted stades about four-hundred where
τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι, καὶ φοίνικες ἄγριοι
some well dug they-find and palms wild
ἐπεφύκεσαν. τούτων τοὺς ἐγκεφάλους κόπτοντες ἐσιτέοντο·
had-grown of-these the brains cutting they-ate
σῖτος γὰρ ἐπελελοίπει τὴν στρατιήν.
food for had-failed the army

29.2 καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλωον τήν τε ἡμέρην
and badly already from hunger faring they-sailed the both day
καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ.
and the night and they-anchor by shore deserted

29.3 Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες
Nearchus and having-feared lest then onto the land having-disembarked
ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῷδε μετεώρους
they-should-abandon the ships from despondency for this out-at-sea
ἔσχε τὰς νέας ἐπ᾽ ἀγκυρέων.
kept the ships at anchors

29.4 ἐνθένδε ἀναχθέντες ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς
thence having-put-out at Canate they-anchor stades about
ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ
seven-hundred and fifty having-sailed-through is and also
αἰγιαλὸς ἐνθαῦτα καὶ διώρυχες βραχέαι.
shore there and canals shallow

29.5 ἐνθένδε σταδίους ὀκτακοσίους πλώσαντες ἐν Τροῖσιν
thence stades eight-hundred having-sailed at Troesi
ὁρμίζονται, κῶμαι δὲ σμικραὶ καὶ πονηραὶ ἐπῆσαν. καὶ οἱ
they-anchor villages and small and poor were-there and the

μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία, αὐτοὶ δὲ σίτῳ τινὶ
indeed men abandon the houses themselves and food some
ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοισιν ἐκ φοινίκων. καὶ
little they-find and dates from palms and
καμήλους ἑπτὰ ὅσαι ἐγκατελήφθησαν κατακόψαντες,
camels seven as-many-as were-caught having-slaughtered
ἀπὸ τούτων ἐσιτέοντο.
from these they-ate
ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριηκοσίους πλώουσι, 29.6
toward and the dawn having-put-out stades three-hundred they-sail
καὶ κατορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς
and they-anchor at Dagaseira where nomad some
ἄνθρωποι ᾤκεον.
men dwelt
ἐνθένδε ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην οὐδέν τι 29.7
thence having-set-out the both night and the day not at-all
ἐλινύοντες ἔπλωον, ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους
resting they-sailed but having-gone-through for stades thousand
τε καὶ ἑκατὸν ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων,
both and hundred they-sailed-past the people of-the Fish-eaters
πολλὰ κακὰ ταύτῃ παθόντες ἀπορίῃ τῶν ἀναγκαίων.
many evils there having-suffered from-lack of-the necessities
ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ — ῥηχίη γὰρ ἦν ἐπὶ 29.8
they-anchor and not by the land surf for was for
πολλὸν ἀνέχουσα—, ἀλλὰ μετέωροι ἐπ᾽ ἀγκυρέων· μῆκος
far projecting but out-at-sea at anchors length
τοῦ παραπλόου τῶν Ἰχθυοφάγων τῆς χώρης στάδιοι
of-the coasting-voyage of-the Fish-eaters of-the country stades
ὀλίγῳ πλεῦνες ἢ μύριοι.
by-little more than ten-thousand

29.9 οὗτοι οἱ Ἰχθυοφάγοι σιτέονται, κατ᾽ ὅ τι περ καὶ
these the Fish-eaters eat according-to what ever indeed also
κληίζονται, ἰχθύας, ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς
they-are-called fishes few indeed of-them fishing-for the
ἰχθύας — ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται
fishes for-few for also boats for this have-been-made
καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων—, τὸ
and craft has-been-devised for the catching of-the fishes the
πολλὸν δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει.
most and the ebb-tide for-them provides

29.10 οἱ δὲ καὶ δίκτυα ἐπὶ τῷδε πεποίηνται, μέγαθος καὶ ἐς
they and also nets for this have-made in-size even to
δύο σταδίους τὰ πολλὰ αὐτῶν. πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ
two stades the most of-them they-weave and them from the
φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον.
bark of-the palms twisting the bark as flax

29.11 ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ, ἵνα μὲν ξηρὴ ἡ γῆ
when and the sea recedes where indeed dry the land
ὑπολείπεται, ἐρήμη τὸ πολλόν ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα
is-left bare the most is of-fishes where and deep
ἐστίν, ὑπολείπεταί τι τοῦ ὕδατος καὶ ἐν τῷδε κάρτα
it-is is-left some of-the water and in this very
πολλοὶ ἰχθύες· οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ
many fishes the indeed most small of-them the-others and
καὶ μέζονες. τούτοισι περιβάλλοντες τὰ δίκτυα αἱρέουσι.
also larger these throwing-around the nets they-catch

29.12 σιτέονται δὲ ὠμοὺς μέν, ὅκως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος,
they-eat and raw indeed as they-draw-out from the water
τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ
the tenderest of-them the and larger both and
σκληροτέρους ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ᾽ ἂν ἀπαυανθῶσι,
harder in sun drying when — they-are-dried

καταλεῦντες ἄλευρα ἀπ᾽ αὐτῶν ποιέονται καὶ ἄρτους· οἳ
grinding meal from them they-make and loaves others
δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι.
and cakes from these the meals bake
καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέεται· 29.13
and the herds for-them the fishes dry eat
ἡ γὰρ χώρη ἐρήμη λειμώνων οὐδὲ ποίην φέρει.
the for country bare of-meadows nor grass bears
θηρεύουσι δὲ καὶ καράβους πολλαχῇ καὶ ὄστρεα καὶ 29.14
they-hunt and also crayfish in-many-places and oysters and
κογχύλια. ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ ***
shellfish salts and of-themselves occur in the country (lacuna)
ἀπὸ τούτων ἔλαιον ποιέουσιν.
from these oil they-make
οἳ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν ἄδενδρόν 29.15
they indeed indeed of-them deserted places inhabit treeless
τε τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων — καὶ
both the country and barren of-fruits cultivated and
τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα ποιέεται—,
for-these from the fishes the whole living is-made
ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, ὁ γὰρ
few and of-them sow as-much-as of-the country the for
σῖτος αὐτοῖσίν εἰσιν ἰχθύες.
food for-them are fishes
οἰκία δὲ ποιέονται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν 29.16
houses and make the-ones indeed most-prosperous of-them
ὅσα κήτεα ἐκβάλλει ἡ θάλασσα, τούτων τὰ ὀστέα
as-many-as sea-monsters casts-up the sea of-these the bones
ἐπιλεγόμενοι, καὶ τούτοισιν ἀντὶ ξύλων χρεόμενοι. καὶ
choosing and these instead-of timbers using and
θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ποιέονται· τοῖσι
doors the bones as-many-as broad of-them they-make for-the

δὲ πολλοῖσι καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθέων τῶν
and many and poorer from the spines of-the
ἰχθύων τὰ οἰκία ποιέεται.
fishes the houses are-made

VIII · WHALES, THE ISLAND OF THE SUN, AND CARMANIA

Off Cyiza the sailors see whales spouting and drop their oars in terror; Nearchus orders the ships to charge in line, shouting and sounding trumpets, and the whales dive. Their bones frame the Fish-eaters' huts. Nearchus lands on Nosala, the Sun's island, where whoever landed was said to vanish, and proves false both that tale and one of a Nereid who turned men into fish. In Carmania the coast turns northwest. Onesicritus wants to sail to the cape of Maceta, and Nearchus refuses, since the fleet's task is to explore the coast. At the Anamis the men meet a Greek straggler from Alexander's camp, five days inland, and Nearchus hauls up his ships behind a double palisade.

30.1 κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ
sea-monsters and great in the outer sea feed and
ἰχθύες πολλῷ μέζονες ἢ ἐν τῇδε τῇ ἔσω.
fishes much larger than in this the inner
30.2 καὶ λέγει Νέαρχος, ὁκότε ἀπὸ Κυΐζων παρέπλωον, ὑπὸ
and says Nearchus when from Cyiza they-coasted toward
τὴν ἕω ὀφθῆναι ὕδωρ τῆς θαλάσσης οἷά περ ἐκ
the dawn to-have-been-seen water of-the sea as indeed from
πρηστήρων βίᾳ ἀναφερόμενον,
waterspouts by-force carried-up
30.3 ἐκπλαγέντας δὲ σφᾶς πυνθάνεσθαι τῶν κατηγεομένων
panic-struck and them to-inquire of-those guiding
τοῦ πλόου ὅ τι εἴη καὶ ἀπ' ὅτου τοῦτο τὸ πάθημα·
the voyage what ever it-was and from what this the phenomenon
τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα φερόμενα κατὰ τὸν
they and to-have-answered that sea-monsters moving through the

πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ. καὶ τοῖσι ναύτῃσιν
sea blow into the upward the water and to-the sailors
ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν,
panic-struck from the hands the oars to-have-fallen
αὐτὸς δὲ ἐπιὼν παρακαλέειν τε καὶ θαρσύνειν, καὶ κατ' 30.4
himself and going-up to-encourage both and to-hearten and to
οὕστινας παραπλώων ἐγίνετο, ἐς μέτωπόν τε κελεῦσαι
whomever coasting-along he-came into line both to-have-ordered
καταστῆσαι ὡς ἐπὶ ναυμαχίῃ τὰς νέας, καὶ ἐπαλαλάζοντας
to-set as for sea-fight the ships and raising-the-war-cry
ὁμοῦ τῷ ὀρθίῳ πυκνήν τε καὶ σὺν κτύπῳ πολλῷ
together-with the shrill-call dense both and with noise much
τὴν εἰρεσίην ποιέεσθαι. οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ
the rowing to-make thus having-taken-heart together indeed
πλώειν ἀπὸ συνθήματος.
to-sail at signal
ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνθαῦτα αὐτοὺς 30.5
when and they-approached already the beasts there them
μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι,
indeed as-much-as the heads for-them held to-have-raised-the-war-cry
τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον τὸν ἀπὸ
the and trumpets to-have-sounded and the noise the from
τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν.
of-the rowing as for longest to-have-kept-up
οὕτω δὴ ὁρεύμενα ἤδη κατὰ τὰς πρῴρας τῶν νεῶν τὰ 30.6
so indeed being-seen already by the prows of-the ships the
κήτεα ἐς βυσσὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ
sea-monsters into depth to-have-sunk panic-struck and not much
ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν καὶ τῆς
later by the sterns having-surfaced to-have-come-up and of-the
θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα.
sea again to-have-blown to great

30.7 ἔνθεν κρότους τε ἐπὶ τῇ παραλόγῳ σωτηρίῃ γενέσθαι
thence clappings both at the unexpected deliverance to-have-been
τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον τε τόλμης καὶ
of-the sailors and praise for — Nearchus both of-daring and
τῆς σοφίης.
of-the wisdom

30.8 τούτων μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς
of-these some of-the sea-monsters to-run-aground in-many-places of-the
χώρης, ἐπειδὰν ἀνάπωτις κατάσχῃ, ἐν τοῖσι βραχέσιν
country when ebb-tide prevails in the shallows
ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν
held the-others and also by storms hard onto the
χέρσον ἐξωθέεσθαι, καὶ οὕτω δὴ κατασηπόμενα ἀπόλλυσθαί
dry-land to-be-thrust and so indeed rotting to-perish
τε καὶ τὰς σάρκας αὐτοῖσι περιρρεούσας ὑπολείπειν τὰ
both and the flesh from-them falling-away to-leave the
ὀστέα χρᾶσθαι τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία.
bones to-use for-the men for the houses

30.9 εἶναι ὧν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν ὀστέα δοκοὺς
to-be then the-ones indeed in the ribs of-them bones beams
τοῖσιν οἰκήμασιν ὅσα μεγάλα, τὰ δὲ σμικρότερα
for-the dwellings as-many-as great the-others and smaller
στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ εἶναι
rafters the-others and in the jaws these and to-be
τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ ἐς εἴκοσι καὶ πέντε
the door-frames as indeed of-many also to twenty and five
ὀργυιὰς ἀνηκόντων τὸ μέγαθος.
fathoms reaching the size

31.1 εὖτε δὲ παρέπλωον τὴν χώρην τὴν Ἰχθυοφάγων, λόγον
when and they-coasted the country the of-Fish-eaters a-story
ἀκούουσι περὶ νήσου τινὸς ἣ κέεται μὲν ἀπέχουσα
they-hear about island some which lies indeed distant

τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ
from-the there mainland stades about a-hundred deserted and
ἐστιν οἰκητόρων.
it-is of-inhabitants
ταύτην ἱρὴν Ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι καὶ Νόσαλα 31.2
this sacred of-Sun said to-be the natives and Nosala
καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν·
to-be-called nor any of-men to-put-in to-wish at it
ὅστις δὲ ἂν ἀπειρίῃ προσσχῇ, γίνεσθαι ἀφανέα.
whoever and — through-inexperience should-put-in to-become invisible
ἀλλὰ λέγει Νέαρχος κέρκουρόν σφιν ἕνα πλήρωμα ἔχοντα 31.3
but says Nearchus a-light-boat for-them one crew having
Αἰγυπτίων οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα,
of-Egyptians not far from-the island this to-have-become invisible
καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου ἰσχυρίζεσθαι ὅτι
and about this the guides of-the voyage to-insist that
ἄρα κατάραντες ὑπ᾽ ἀγνοίης ἐς τὴν νῆσον γένοιντο ἀφανέες.
then having-put-in from ignorance at the island they-became invisible
Νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον, 31.4
Nearchus and sends in-circle around the island a-thirty-oared-ship
κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ
having-ordered not to-put-in indeed at the island to-shout and
τοῖς ἀνθρώποις ὡς μάλιστα ἐν χρῷ παραπλώοντας,
to-the men as most close (to-the)-skin coasting-along
καὶ τὸν κυβερνήτην οὐνομάζοντας καὶ ὅτου ἄλλου οὐκ
and the helmsman naming and of-whomever other not
ἀφανὲς τὸ οὔνομα.
unknown the name
ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὴ αὐτὸς λέγει πλῶσαι 31.5
when and no-one to-answer then indeed he-himself says to-have-sailed
ἐς τὴν νῆσον, καὶ κατασχεῖν προσαναγκάσαι τοὺς ναύτας
to the island and to-have-put-in to-have-compelled the sailors

οὐκ ἐθέλοντας, καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγξαι κενὸν
not wishing and to-have-landed himself and to-have-proved empty
μῦθον ἐόντα τὸν περὶ τῇ νήσῳ λόγον.
tale being the about the island story

31.6 ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον λεγόμενον, οἰκῆσαι
to-have-heard and also another story told to-have-dwelt-on
τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα
the island this one of-the Nereids the and name
οὐ λέγεσθαι τῆς Νηρηίδος. ταύτῃ δὲ ὅστις πελάσειε,
not to-be-told of-the Nereid to-this and whoever should-approach
τούτῳ δὲ συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου
with-this-one and to-lie indeed fish and him from man
ποιέουσαν ἐμβάλλειν ἐς τὸν πόντον.
making to-throw into the sea

31.7 Ἥλιον δὲ ἀχθεσθέντα τῇ Νηρηίδι κελεύειν μετοικίζεσθαι
Sun and having-been-vexed with-the Nereid to-order to-move
αὐτὴν ἐκ τῆς νήσου· τὴν δὲ ὁμολογέειν μὲν ὅτι
her from the island she and to-agree indeed that
ἐξοικισθήσεται, δέεσθαι δέ οἱ τὸ πάθημα παυθῆναι, καὶ
she-will-move to-ask and him the affliction to-be-stopped and
τὸν Ἥλιον ὑποδέξασθαι·
— Sun to-have-undertaken

31.8 τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας ἰχθύας ἐξ ἀνθρώπων
the and indeed men whom fishes from men
ἐπεποιήκει κατελεήσαντα ἀνθρώπους αὖθις ἐξ ἰχθύων
she-had-made having-pitied men again from fishes
ποιῆσαι, καὶ ἀπὸ τούτων τῶν Ἰχθυοφάγων τὸ γένος καὶ
to-have-made and from these the Fish-eaters the race also
ἐς Ἀλέξανδρον κατελθεῖν.
down-to Alexander to-have-come-down

καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινέω 31.9
and these-things that false-things proves Nearchus not praise
αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ σοφίης, οὔτε κάρτα χαλεπὰ
him I-at-least for-the leisure both and wisdom neither very difficult
ἐξελεγχθῆναι ἐόντα, ταλαίπωρόν τε ἐὸν γινώσκων τοὺς
to-be-disproved being wretched and being knowing the
παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ἐόντας ψευδέας.
ancient tales choosing to-refute being false
ὑπὲρ δὲ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι 32.1
beyond and the Fish-eaters Gadrosians into the upward inhabit
γῆν πονηρὴν καὶ ψαμμώδεα, ἔνθα καὶ τὰ πολλὰ κακὰ
land poor and sandy where also the many evils
ἡ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθε καὶ αὐτὸς Ἀλέξανδρος,
the army both for-Alexander suffered and himself Alexander
ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται.
as by-me already in the other account has-been-related
ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ 32.2
when and into — Carmania from the Fish-eaters put-in the
στρατός, ἐνθαῦτα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο,
force there where first — of-Carmania they-anchored
ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ
at anchors they-rode because surf stretched into the
πέλαγος τρηχέα.
open-sea rough
ἐνθένδε οὐκέτι ὡσαύτως πρὸς ἡλίου δυομένου ἔπλωον, 32.3
thence no-longer likewise toward sun setting they-sailed
ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου μᾶλλόν
but the between setting both of-sun and of-the north more
τι αἱ πρῷραι αὐτοῖσιν ἐπείχον.
somewhat the prows for-them held

32.4 καὶ ἡ Καρμανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν
and — Carmania the of-Fish-eaters than-the land and than-the
Ὠρειτέων εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστί, καὶ
of-Oreitae more-wooded both and more-fruitful is and
ποιώδης μᾶλλόν τι καὶ εὔυδρος.
grassy more somewhat and well-watered

32.5 ὁρμίζονται δὲ ἐν Βάδει χώρῳ τῆς Καρμανίης οἰκεομένῳ,
they-anchor and at Badis a-place — of-Carmania inhabited
δένδρεά τε πολλὰ ἥμερα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους
trees both many cultivated having except the-olive and vines
ἀγαθάς, καὶ σιτοφόρῳ.
good and grain-bearing

32.6 ἐνθένδε ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους,
thence having-set-out and having-sailed-through stades eight-hundred
πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ, καὶ κατορέουσιν ἄκρην
by shore they-anchor deserted and they-descry a-cape
μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος· ἀπέχειν
long projecting for far into the open-sea to-be-distant
δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης.
and appeared the cape a-voyage about of-a-day

32.7 καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες Ἀραβίης ἔλεγον τὴν
and those of-the places those skilled of-Arabia said the
ἀνέχουσαν ταύτην ἄκρην, καλέεσθαι δὲ Μάκετα· ἔνθεν
projecting this cape to-be-called and Maceta whence
τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους
the cinnamon both and other such-things to Assyrians
ἀγινέεσθαι.
to-be-brought

32.8 καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵναπερ ὁ στόλος ἐσάλευε,
and from the shore this where-indeed the fleet rode
καὶ τῆς ἄκρης, ἥντινα καταντικρὺ ἀπεώρων ἀνέχουσαν
and of-the cape which opposite they-saw projecting

ἐς τὸ πέλαγος, ὁ κόλπος — ἐμοί τε δοκέει καὶ Νεάρχῳ
into the open-sea the gulf to-me both seems and to-Nearchus
ὡσαύτως ἐδόκεεν — ἐς τὸ ἔσω ἀναχέεται, ὅπερ οἰκὸς
likewise seemed into the inner spreads-out which likely
ἡ Ἐρυθρὴ θάλασσα.
the Red sea
ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν 32.9
this the cape when they-saw Onesicritus indeed
ἐπέχοντας ἐπ᾽ αὐτὴν πλώειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν
holding-course on it to-sail bade so-that not along the
κόλπον ἐλαστρεῦντας ταλαιπωρέεσθαι.
gulf driving-in to-suffer-hardship
Νέαρχος δὲ ὑποκρίνεται νήπιον εἶναι Ὀνησίκριτον, εἰ 32.10
Nearchus and answers childish to-be Onesicritus if
ἀγνοέει ἐπ᾽ ὅτῳ ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος.
he-is-ignorant for what was-sent by Alexander the fleet
οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ διασωθῆναι πάντα 32.11
not for that lack there-was on-foot to-get-through all
αὐτῷ τὸν στρατόν, ἐπὶ τῷδε ἄρα ἐκπέμψαι τὰς νέας,
for-him the army for this then to-have-sent-out the ships
ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλοον
but wishing shores both the along the coasting-voyage
κατασκέψασθαι καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅστις κόλπος
to-explore and anchorages and islets and whatever gulf
ἐσέχοι, ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι
should-open-in to-sail-round this and cities as-many-as
ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ καὶ εἴ τις ἐρήμη.
on-the-sea and if any fruitful land and if any desert
σφᾶς ὧν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι 32.12
them then not to-be-necessary to-ruin the task at the-end
ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρως ἔτι
already being of-the toils besides both not-even in-want still

τῶν ἀναγκαίων ἐν τῷ παραπλόῳ ἔχοντας. δεδιέναι τε,
of-the necessities in the coasting-voyage having to-fear both
ἐπεὶ ἡ ἄκρη ἐς μεσαμβρίην ἀνέχοι, μὴ ἐρήμῃ τε τῇ
since the cape to south projected lest with-desert both the
ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ φλογώδεϊ ἐγκύρσειαν.
there land and waterless and scorching they-should-meet
32.13 ταῦτα ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν
these-things prevailed and to-me seems plainly to-have-saved the
στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην
army by-this the counsel Nearchus the for indeed cape
ἐκείνην καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε
that and the by it country all desert both
εἶναι λόγος κατέχει καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.
to-be story holds and of-water by-lack to-be-gripped
33.1 ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇ γῇ
but they-sailed for from the shore having-set-out to-the land
προσεχέες, καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν
keeping-close and having-sailed stades about seven-hundred at
ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα οὔνομα τῷ αἰγιαλῷ.
another shore they-anchored Neoptana name to-the shore
33.2 καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλώσαντες σταδίους
and again toward the dawn they-put-out and having-sailed stades
ἑκατὸν ὁρμίζονται κατὰ ποταμὸν Ἄναμιν· ὁ δὲ χῶρος
hundred they-anchor at river Anamis the and place
Ἁρμόζεια ἐκαλέετο. δαψιλέα δὲ ἤδη καὶ πάμφορα τὰ
Harmozeia was-called abundant and already and all-bearing the-things
ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐκ ἐπεφύκεσαν.
there were except olives not had-grown
33.3 ἐνθαῦτα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν καὶ ἀπὸ τῶν πολλῶν
there they-disembark both from the ships and from the many
πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ
toils gladly they-rested remembering how-many evils on

τὴν θάλασσαν πεπονθότες ἦσαν καὶ πρὸς τῇ γῇ τῇ
the sea having-suffered they-were and by the land the
Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους
of-Fish-eaters the both desolation of-the country and the men
ὅκως θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι.
how beast-like and the their straits recounting
καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, 33.4
and some of-them from sea to the forward went-up
ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος
having-scattered from-the army in search one
ἄλλου.
of-another
ἐνθαῦτα ἄνθρωπός σφισιν ὤφθη χλαμύδα τε φορέων 33.5
there a-man by-them was-seen a-cloak both wearing
Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος,
Greek and the other-things as a-Greek equipped
καὶ φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες
and language Greek spoke this-one those first having-seen
δακρῦσαι ἔλεγον· οὕτω τι παράλογόν σφισι φανῆναι
to-have-wept said so something unexpected to-them to-have-appeared
ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν,
from the so-great evils Greek indeed man to-see
Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι.
of-Greek and speech to-hear
ἐπηρώτων τε ὁκόθεν ἥκοι καὶ ὅστις ἐών· ὃ δὲ ἀπὸ τοῦ 33.6
they-asked both whence he-came and who being he and from the
στρατοπέδου τοῦ Ἀλεξάνδρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ
camp — of-Alexander to-have-been-scattered said and
εἶναι οὐ πόρρω τὸ στρατόπεδον καὶ αὐτὸν Ἀλέξανδρον.
to-be not far the camp and himself Alexander

33.7 τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι
this the man shouting both and clapping they-bring-up
παρὰ τὸν Νέαρχον· καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ
to — Nearchus and to-Nearchus everything he-told and
ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ
that five days' journey is-distant the camp and the
βασιλεὺς ἀπὸ τῆς θαλάσσης.
king from the sea

33.8 τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη
the both hyparch of-the country this to-be-going-to-show he-said
Νεάρχῳ, καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην
to-Nearchus and he-showed and with this-one Nearchus plan
ποιέεται, ὅκως ἀναβήσεται πρὸς τὸν βασιλέα.
makes how he-will-go-up to the king

33.9 τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθεν· ὑπὸ δὲ τὴν ἕω
then indeed indeed to the ships he-went-off toward and the dawn
τὰς νέας ἐνεώλκεεν, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτέων
the ships he-hauled-up of-repair both for-the-sake as-many-as of-them
κατὰ τὸν πλόον ἐπεπονήκεσαν, καὶ ἅμα ὅτι
during the voyage had-been-damaged and at-the-same-time because
ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν
in the place this to-leave-behind for-him it-seemed(-good) the
πολλὸν στρατόν. χάρακά τε ὧν περιβάλλεται διπλόον
greater-part-of force a-palisade both then he-throws-around double
τῷ ναυστάθμῳ, καὶ τεῖχος γήινον καὶ τάφρον βαθέαν,
to-the roadstead and wall earthen and ditch deep
ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος ἔστε ἐπὶ τὸν
from of-the river the bank having-begun as-far to the
αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν.
shore where the ships for-him hauled-up were

IX · NEARCHUS FINDS ALEXANDER

The local governor races to tell Alexander that Nearchus is coming; when no one arrives, Alexander has him arrested. Searchers pass Nearchus and Archias unrecognized, so haggard are they, until Nearchus names himself. Alexander, seeing them come with only five others, thinks the fleet lost and weeps, then rejoices when he learns that the ships are safe, swearing that the news pleases him more than the conquest of Asia. At Nearchus' request the governor is freed. After sacrifices and games Alexander would spare Nearchus further danger, but Nearchus asks to finish the voyage. Fighting his way back to the coast, he sails on past islands sacred to Poseidon and to Hermes and Aphrodite.

ἐν ᾧ δὲ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος 34.1
in which and Nearchus these-things arranged of-the country the hyparch
πεπυσμένος ὅκως ἐν μεγάλῃ φροντίδι ἔχοι Ἀλέξανδρος
having-learned how in great anxiety had Alexander
τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἐξ
the-things about the fleet this great indeed something from
Ἀλεξάνδρου ἀγαθὸν ἔγνω πείσεσθαι, εἰ πρώτός οἱ
Alexander good he-knew to-be-going-to-receive if first to-him
ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τὸν Νέαρχον
he-should-report of-the force the safety and — Nearchus
ὅτι οὐ πολλῷ ὕστερον ἀπίξεται ἐς ὄψιν τὴν τοῦ βασιλέος.
that not much later will-come into sight the of-the king
οὕτω δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρῳ 34.2
so indeed the shortest-way having-ridden reports to-Alexander
ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν
that Nearchus here approaches from the ships then indeed
δὴ καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος, ἀλλὰ ἐχάρη
indeed although disbelieving the word Alexander but rejoiced
γε κατὰ τὸ οἰκὸς τῇ ἀγγελίῃ·
at-least according-to the likely at-the news

34.3 ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ συντιθέντι
when and day both other after other passed and reckoning
αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον οὐκέτι πιστὰ τὰ
for-him of-the news the time no-longer credible the-things
ἀπηγγελμένα ἐφαίνετο,
reported appeared

34.4 πεμπόμενοί τε ἄλλοι ἐπ᾽ ἄλλοισιν ὡς ἐπὶ κομιδῇ τοῦ
being-sent both others after others as for fetching —
Νεάρχου οἳ μέν τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες
of-Nearchus the-ones indeed some a-little of-the road having-gone-forward
καὶ οὐδενὶ ἐγκύρσαντες κενοὶ ἐπανῄεσαν, οἳ δὲ καὶ
and with-no-one having-met empty returned the-others and also
πορρωτέρω ἐλθόντες καὶ διαμαρτόντες τῶν ἀμφὶ Νέαρχον,
farther having-gone and having-missed the around Nearchus
οὐδὲ αὐτοὶ ἐπανῄεσαν,
not-even themselves returned

34.5 ἐνθαῦτα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς κενά τε
there indeed the indeed man that as empty-things both
ἀγγείλαντα καὶ λυπηρότερά οἱ τὰ πρήγματα ποιήσαντα
having-reported and more-grievous for-him the affairs having-made
τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει Ἀλέξανδρος,
with-the vain joy to-arrest orders Alexander
αὐτὸς δὲ τῇ τε ὄψι καὶ τῇ γνώμῃ δῆλος ἦν μεγάλῳ
himself and in-the both face and in-the mind plain was by-great
ἄχεϊ βεβλημένος.
grief struck

34.6 ἐν τούτῳ δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου
in this and of-the some for search — of-Nearchus
ἐσταλμένων ἵππους τε ἐπὶ κομιδῇ αὐτοῦ καὶ ἁπήνας δὲ
sent horses both for fetching of-him and carriages and

ἄγοντες ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῷ τε Νεάρχῳ
leading meet along the road himself both Nearchus
καὶ Ἀρχίῃ, καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσι.
and Archias and five or six together-with them
καὶ ἐντυχόντες οὔτε αὐτὸν ἐγνώρισαν οὔτε Ἀρχίην — 34.7
and having-met neither him they-recognized nor Archias
οὕτω τι κάρτα ἀλλοῖοι ἐφάνησαν, κομόωντές τε καὶ
so somewhat very changed they-appeared long-haired both and
ῥυπόωντες καὶ μεστοὶ ἅλμης καὶ ῥικνοὶ τὰ σώματα καὶ
filthy and full of-brine and shriveled the bodies and
ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης —
pale from sleeplessness both and of-the other hardship
ἀλλὰ ἐρομένοισι γὰρ αὐτοῖσιν ἵναπερ εἴη Ἀλέξανδρος, 34.8
but to-those-asking for them where-indeed was Alexander
ὑποκρινάμενοι τὸν χῶρον οἳ δὲ παρήλαυνον.
having-answered the place they and drove-past
Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς Νέαρχον "ὦ Νέαρχε, 34.9
Archias and having-noticed says to Nearchus O Nearchus
τούτους τοὺς ἀνθρώπους δι' ἐρημίης ἐλαύνειν τὴν αὐτὴν
these the men through desert to-drive the same
ἡμῖν ὁδὸν οὐκ ἐπ' ἄλλῳ τινὶ συντίθημι ὅτι μὴ κατὰ
to-us road not for other anything I-conclude except — on
ζήτησιν τὴν ἡμετέρην ἀπεσταλμένους.
search the our sent
ὅτι δὲ οὐ γινώσκουσιν ἡμέας, οὐκ ἐν θώματι ποιέομαι· 34.10
that and not they-recognize us not in wonder I-make
οὕτω γάρ τι ἔχομεν κακῶς, ὥστε ἄγνωστοι εἶναι.
so for something we-fare badly that unrecognizable to-be
φράσωμεν αὐτοῖσιν οἵτινές εἰμεν, καὶ αὐτοὺς ἐρώμεθα
let-us-tell them who we-are and them let-us-ask
κατ' ὅτι ταύτην ἐλαύνουσιν."
for what this-way they-drive

34.11 ἔδοξε Νεάρχῳ ἐναίσιμα λέγειν· καὶ ἤροντο ὅκοι ἐλαύνουσιν·
it-seemed to-Nearchus fitting to-speak and they-asked whither they-drive
οἱ δὲ ὑποκρίνονται ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ
they and answer that on search of-Nearchus both and
τοῦ στρατοῦ τοῦ ναυτικοῦ.
of-the force the naval

34.12 ὁ δέ "οὗτος" ἔφη "ἐγώ εἰμι Νέαρχος, καὶ Ἀρχίης οὗτος.
he and here said I am Nearchus and Archias this-one
ἀλλὰ ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς
but lead us we and the-things about the army
Ἀλεξάνδρῳ ἀπηγησόμεθα."
to-Alexander will-relate

35.1 ἀναλαβόντες δὲ αὐτοὺς ἐπὶ τὰς ἁπήνας ὀπίσω ἤλαυνον. καί
having-taken-up and them onto the carriages back they-drove and
τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην,
some of-them these to-anticipate having-wished the news
προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ ὅτι "οὗτός τοι Νέαρχος,
having-run-ahead say to-Alexander that here surely Nearchus
καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε ἄλλοι κομίζονται παρὰ σέ,"
and with him Archias and five others are-being-brought to you
ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνασθαι.
about but the force whole nothing they-were-able to-answer

35.2 τοῦτο ἐκεῖνο συνθεὶς Ἀλέξανδρος, τοὺς μὲν παραλόγως
this that having-concluded Alexander them indeed beyond-expectation
ἀποσωθῆναι, τὴν στρατιὴν δὲ πᾶσαν διεφθάρθαι αὐτῷ,
to-have-got-away-safe the army but whole to-have-perished for-him
οὐ τοσόνδε Νεάρχου τε καὶ Ἀρχίεω τῇ σωτηρίῃ ἔχαιρεν,
not so-much of-Nearchus both and of-Archias at-the safety rejoiced
ὅσον ἐλύπεεν αὐτὸν ἀπολομένη ἡ στρατιὴ πᾶσα.
as-much-as grieved him having-perished the army whole

οὔπω πάντα εἴρητο, καὶ Νέαρχός τε καὶ Ἀρχίης 35.3
not-yet everything had-been-said and Nearchus both and Archias
προσῆγον. τοὺς δὲ μόλις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος·
came-up them and hardly and with-difficulty recognized Alexander
ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους κατεώρα,
because both long-haired and badly dressed he-saw-them
ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ
by-this more somewhat more-firmly for-him the grief about
τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνετο.
the army the naval became
ὁ δὲ τὴν δεξιὴν Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγαγὼν μοῦνον 35.4
he and the right-hand to-Nearchus having-given and having-led-away alone
ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπιστέων, πολλὸν
from the companions both and the shield-bearers long
χρόνον ἐδάκρυεν·
time wept
ὀψὲ δὲ ἀνενεγκὼν "ἀλλὰ σύγε ἡμῖν ὅτι ἐπανήκεις 35.5
late and having-recovered but you-at-least to-us that you-return
σῷος" ἔφη "καὶ Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς
safe he-said and Archias this-one would-be — for-me-at-least as
ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ
for disaster the whole moderately the but surely ships and the
στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν;"
army in-what some manner perished
ὁ δὲ ὑπολαβών "ὦ βασιλεῦ," ἔφη "καὶ αἱ νέες τοι 35.6
he and having-taken-up O king he-said both the ships for-you
σῷαί εἰσι καὶ ὁ στρατός· ἡμεῖς δὲ αὐτάγγελοι τῆς
safe are and the force we and own-messengers of-the
σωτηρίης αὐτῶν ἥκομεν."
safety of-them come

35.7 ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέξανδρος, κατ᾽ ὅτι ἀνέλπιστός
still more wept Alexander in so-far-as unhoped-for
οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο· καὶ ὅκου ὁρμέουσιν
to-him the safety of-the force appeared and where are-anchored
αἱ νέες ἀνηρώτα. ὃ δὲ "αὗται" ἔφη "ἐν τῷ στόματι
the ships he-asked he and these he-said in the mouth
τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται."
of-the Anamis river hauled-up are-being-repaired
35.8 Ἀλέξανδρος δὲ τόν τε Δία τὸν Ἑλλήνων καὶ τὸν Ἄμμωνα
Alexander and — both Zeus the of-Greeks and — Ammon
τὸν Λιβύων ἐπόμνυσιν, ἦ μὲν μεζόνως ἐπὶ τῇδε τῇ
the of-Libyans swears truly indeed more at this the
ἀγγελίῃ χαίρειν ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔχει.
news to-rejoice than that — Asia all having-acquired he-holds
καὶ γὰρ τὸ ἄχος οἱ τὸ ἐπὶ τῇ ἀπωλείῃ τῆς στρατιῆς
and for the grief to-him the at the loss of-the army
ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ.
counterbalancing to-have-been to-the other all good-fortune
36.1 ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέξανδρος
the and hyparch of-the country whom had-arrested Alexander
ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρεόντα κατιδὼν τὸν
for of-the news the vanity present having-seen —
Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γούνατα,
Nearchus falls both to-him at the knees
36.2 καὶ "οὗτός τοι" ἔφη "ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλεξάνδρῳ
and here surely he-said I am who reported to-Alexander
ὅτι σῷοι ἥκετε· ὁρᾷς ὅκως διάκειμαι." οὕτω δὴ δέεται
that safe you-come you-see how I-fare so indeed asks
Ἀλεξάνδρου Νέαρχος ἀπεῖναι τὸν ἄνδρα, καὶ ἀπίεται.
of-Alexander Nearchus to-release the man and he-is-released

Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ 36.3
Alexander and thank-offerings-for-safety of-the force sacrificed to-Zeus
Σωτῆρι καὶ Ἡρακλέι καὶ Ἀπόλλωνι Ἀλεξικάκῳ καὶ
Savior and to-Heracles and to-Apollo Averter-of-Evil and
Ποσειδῶνί τε καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί, καὶ ἀγῶνα
to-Poseidon both and as-many-as other of-the-sea gods and contest
ἐποίεε γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε·
held gymnastic both and musical and procession led
καὶ Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε, ταινίῃσί τε
and Nearchus among first marched-in-procession with-ribbons both
καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος.
and with-flowers by the army being-pelted
ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον "ἐγώ 36.4
when and these-things for-him end had he-says to Nearchus I
σε, ὦ Νέαρχε, οὐκέτι ἐθέλω τὸ πρόσω οὔτ' ὦν κινδυνεύειν
you O Nearchus no-longer wish the further neither then to-run-risks
οὔτε ταλαιπωρέεσθαι, ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ
nor to-suffer-hardship but another for of-the fleet
ἐξηγήσεται τὸ ἀπὸ τοῦδε, ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα."
will-lead the from this until to-bring it to Susa
Νέαρχος δὲ ὑπολαβὼν λέγει "ὦ βασιλεῦ, ἐγὼ μέν τοι 36.5
Nearchus and having-taken-up says O king I indeed to-you
πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοί ἐστιν. ἀλλὰ
in-all-things to-obey wish both and necessity for-me is but
εἰ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλεις, μὴ ποιήσῃς
if indeed something also you to-me to-grant wish not do
ὧδε, ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ,
thus but me let to-lead into the-whole of-the force
ἔστ' ἄν σοι σώας καταστήσω ἐς Σοῦσα τὰς νέας.
until — for-you safe I-bring to Susa the ships

36.6 μηδὲ τὰ μὲν χαλεπά τε καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα
nor the indeed difficult both and impossible-things to-me entrusted
ἐκ σοῦ ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέεος ἤδη ἐχόμενα
by you let-be the and easy both and of-glory already holding
ἑτοίμου, ταῦτα δὲ ἀπαιρεθέντα ἄλλῳ ἐς χεῖρας διδόσθω."
ready these and taken-away to-another into hands let-be-given
36.7 ἔτι λέγοντα παύει Ἀλέξανδρος, καὶ χάριν προσωμολόγεεν
still speaking stops Alexander and gratitude agreed
εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτόν, στρατιὴν δοὺς
to-know so indeed sends-down him army having-given
ἐς παραπομπὴν ὡς διὰ φιλίης ἰόντι ὀλίγην.
for escort as through friendly-country going small
36.8 τῷ δὲ οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν
to-him and not-even the-things of-the road the to sea
ἔξω πόνου ἐγένετο, ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ
outside toil were but gathered for the around
βάρβαροι τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον,
barbarians the strongholds of-the country the Carmanian held
ὅτι ὁ σατράπης αὐτοῖσι ἐτετελευτήκει κατὰ πρόσταξιν
because the satrap for-them had-died by order
Ἀλεξάνδρου, ὁ δὲ νεωστὶ κατεστηκὼς Τληπόλεμος οὔπω
of-Alexander the and newly appointed Tlepolemus not-yet
βέβαιον τὸ κράτος εἶχε.
firm the power had
36.9 δὶς ὧν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι
twice then and three-times on-the same day with-other and other
τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤεσαν, καὶ
of-the barbarians appearing to hands they-went and
οὕτως οὐδέν τι ἐλινύσαντες μόλις καὶ χαλεπῶς ἐπὶ
so not at-all having-rested hardly and with-difficulty to

θάλασσαν ἀπεσώθησαν. ἐνθαῦτα θύει Νέαρχος Διὶ
sea they-got-safe there sacrifices Nearchus to-Zeus
Σωτῆρι καὶ ἀγῶνα ποιέει γυμνικόν.
Savior and contest holds gymnastic
ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ ἐπεποίητο, οὕτω δὴ 37.1
when and for-him the divine-things in order had-been-done so indeed
ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχέαν
they-put-out having-coasted and an-island deserted both and rough
ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκεομένῃ,
at another island they-anchor great this and inhabited
πλώσαντες σταδίους τριηκοσίους ἔνθενπερ ὡρμήθησαν.
having-sailed stades three-hundred whence-very they-had-set-out
καὶ ἡ μὲν ἐρήμη νῆσος Ὄργανα ἐκαλέετο, ἐς ἣν δὲ 37.2
and the indeed deserted island Organa was-called at which and
ὡρμίσθησαν Ὀάρακτα. ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν καὶ
they-anchored Oaracta vines both in it had-grown and
φοίνικες, καὶ σιτοφόρος ἦν· τὸ δὲ μῆκος τῆς νήσου στάδιοι
palms and grain-bearing it-was the and length of-the island stades
ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου Μαζήνης συνέπλωεν
eight-hundred and the hyparch of-the island Mazenes sailed-with
αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου.
them as-far-as Susa volunteer guide of-the voyage
ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτου δυναστεύσαντος 37.3
in this the island they-said also of-the first having-ruled
τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον· οὔνομα δὲ
of-the country this to-be-shown the tomb name and
αὐτῷ Ἐρύθρην εἶναι. ἀπ᾽ ὅτου καὶ τὴν ἐπωνυμίην τῇ
for-him Erythres to-be from whom also the name to-the
θαλάσσῃ ταύτῃ εἶναι.
sea this to-be

37.4 ἐνθένδε ἄραντες ἔπλωον· καὶ τῆς νήσου παραπλώσαντες
thence having-set-out they-sailed and of-the island having-coasted
ὅσον διηκοσίους σταδίους ὁρμίζονται ἐν αὐτῇ αὖθις,
about two-hundred stades they-anchor at it again
καὶ κατορέουσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης
and they-descry another island distant from-the great
ταύτης τεσσαράκοντα μάλιστα σταδίους. Ποσειδῶνος ἱρὴ
this forty about stades of-Poseidon sacred
ἐλέγετο εἶναι καὶ ἄβατος.
was-said to-be and untrodden

37.5 ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο, καὶ καταλαμβάνει αὐτοὺς
toward and the dawn they-put-out and catches them
ἀνάπωτις οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν
ebb-tide so somewhat strong that three of-the ships
ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν, αἱ δὲ ἄλλαι χαλεπῶς
having-run-aground on the dry were-held the and others with-difficulty
διεκπλώουσαι τὰς ῥηχίας ἐς τὰ βάθεα ἀπεσώθησαν.
sailing-through the breakers into the deeps got-safe

37.6 αἱ δὲ ἐποκείλασαι τῆς πλημμυρίδος ἐπιγενομένης αὖθις
the and grounded of-the flood-tide having-come-on again
ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς
sailed-out both and on-the-second-day put-in where-indeed the whole
στόλος.
fleet

37.7 ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου
they-anchor and at island another distant from-the mainland
ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους.
about three-hundred stades having-sailed four-hundred

37.8 ἐνθεῦτεν ὑπὸ τὴν ἕω ἔπλωον, νῆσον ἐρήμην ἐν ἀριστερῇ
thence toward the dawn they-sailed island deserted on left
παραμείβοντες· οὔνομα δὲ τῇ νήσῳ Πύλωρα. καὶ
passing name and to-the island Pylora and

ὁρμίζονται πρὸς Σισιδώνῃ, πολιχνίῳ σμικρῷ καὶ πάντων
they-anchor at Sisidone small-town small and of-all
ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων· ἰχθυοφάγοι γὰρ καὶ
lacking except — water and fishes fish-eaters for also
οὗτοι ὑπ᾽ ἀναγκαίης ἦσαν, ὅτι πονηρὴν γῆν νέμονται.
these from necessity were because poor land they-inhabit
ἐνθένδε ὑδρευσάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην 37.9
thence having-drawn-water they-put-in at Tarsias cape
ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους
stretching into the open-sea having-sailed stades
τριηκοσίους. ἐνθένδε ἐς Καταίην, νῆσον ἐρήμην, ἀλιτενέα·
three-hundred thence to Cataea island deserted low-lying
αὕτη ἱρὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ 37.10
this sacred of-Hermes and of-Aphrodite was-said stades of-the
πλόου τριηκόσιοι.
voyage three-hundred
ἐς ταύτην ὅσα ἔτη ἀπίεται ἐκ τῶν περιοίκων πρόβατα 37.11
to this every year are-let-go from the neighbors sheep
καὶ αἶγες ἱρὰ τῷ Ἑρμέῃ καὶ τῇ Ἀφροδίτῃ, καὶ ταῦτα
and goats sacred — to-Hermes and — to-Aphrodite and these
ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης.
gone-wild it-was-possible to-see from time both and desolation

The fleet coasts Persis, where pearls are fished, past Gogana to the Sitacus, where it rests three weeks, and on to the Oroatis; sailors measure a beached whale at fifty cubits. Arrian describes Persis' three climates and the robber peoples beside it, whom Alexander tamed. Past Susiana the fleet threads a shallow channel marked with stakes to the mouth of the Euphrates, then turns back up the Pasitigris and meets Alexander at the bridge to Susa, where Nearchus and Leonnatus are crowned. Arrian ends with the lands beyond: Arabia, which no one has sailed round, and Hanno's voyage down the coast of Libya.

38.1 μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι
as-far-as this Carmania the-parts and from this Persians
ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίων χώρην
hold length of-the voyage along the of-Carmanians country
στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ
stades three-thousand and seven-hundred they-live and as
Πέρσαι, ὅτι καὶ ὅμουροί εἰσι Πέρσῃσι· καὶ τὰ ἐς
Persians because also bordering they-are on-Persians and the-things for
τὸν πόλεμον ὡσαύτως κοσμέονται.
the war likewise they-are-equipped

38.2 ἐνθένδε ἄραντες παρὰ τὴν Περσίδα ἤδη ἔπλωον, καὶ
thence having-set-out along — Persis already they-sailed and
κατάγονται ἐς Ἴλαν χῶρον, ἵνα λιμὴν πρὸς νήσου
they-put-in at Ila a-place where a-harbor by island
σμικρῆς καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος,
small and deserted is name to-the island Caicandrus
ὁ δὲ πλόος στάδιοι τετρακόσιοι.
the and voyage stades four-hundred

38.3 ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλώσαντες ὁρμίζονται
toward and the dawn to another island having-sailed they-anchor
οἰκεομένην, ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος
inhabited where also pearl to-be-fished says Nearchus

κατάπερ ἐν τῇ Ἰνδῶν θαλάσσῃ. ταύτης τῆς νήσου
as in the of-Indians sea of-this the island
τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα,
the cape having-coasted stades about forty
ἐνθαῦτα ὡρμίσθησαν.
there they-anchored
ἐνθένδε πρὸς οὔρεϊ ὁρμίζονται ὑψηλῷ — Ὦχος οὔνομα 38.4
thence by a-mountain they-anchor high Ochus name
τῷ οὔρεϊ — ἐν λιμένι εὐόρμῳ, καὶ ἁλιέες αὐτόθι ᾤκεον.
to-the mountain in harbor good-for-anchoring and fishermen there dwelt
καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ 38.5
and thence having-sailed stades four-hundred both and
πεντήκοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι· καὶ πλοῖα πολλὰ
fifty they-anchor at Apostana and boats many
αὐτόθι ὥρμεε, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης
there lay-at-anchor village both was-there distant from sea
σταδίους ἑξήκοντα.
stades sixty
νυκτὸς δὲ ἄραντες ἐνθεῦτεν ἐσπλώουσιν ἐς κόλπον 38.6
by-night and having-set-out thence they-sail-into into a-gulf
συνοικεόμενον πολλῇσι κώμῃσι. στάδιοι τοῦ πλόου
settled with-many villages stades of-the voyage
τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείῃ. ταύτῃ φοίνικές
four-hundred they-anchor and by foothill this palms
τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν
both many had-grown and as-many-as other fruit-trees in
τῇ Ἑλλάδι φύεται.
— Greece grow
ἐνθένδε ἄραντες ἐς Γώγανα παραπλώουσι σταδίους 38.7
thence having-set-out to Gogana they-coast stades
μάλιστα ἐς ἑξακοσίους ἐς χώρην οἰκεομένην· ὁρμίζονται
roughly about six-hundred to country inhabited they-anchor

δὲ ποταμοῦ χειμαρρόου — οὔνομα δέ οἱ Ἀρεών — ἐν
and of-river torrent name and for-it Areon in
τῇσιν ἐκβολῇσιν. ἐνθαῦτα χαλεπῶς ὁρμίζονται· στεινὸς
the mouths there with-difficulty they-anchor narrow
γὰρ ἦν ὁ ἔσπλοος κατὰ τὸ στόμα, ὅτι βραχέα τὰ
for was the entrance at the mouth because shallows the-parts
κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε.
around it the ebb-tide made

38.8 καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται,
and thence again in mouth of-another river they-anchor
διεκπλώσαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς οὔνομα
having-sailed-through stades about eight-hundred Sitacus name
τῷ ποταμῷ ἦν. ἀλλὰ οὐδὲ ἐν τούτῳ εὐμαρέως
to-the river was but not-even in this easily
ὁρμίζονται, καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν
they-anchor and the voyage whole this the along —
Περσίδα βραχέα τε ἦν καὶ ῥηχίη καὶ τενάγεα.
Persis shallows both was and surf and swamps

38.9 ἐνθαῦτα σῖτον καταλαμβάνουσι πολλὸν συγκεκομισμένον
there grain they-find much collected
κατὰ πρόσταξιν τοῦ βασιλέος, ὡς σφίσιν εἶναι
by order of-the king so-that for-them to-be
ἐπισιτίσασθαι· ἐνθαῦτα ἔμειναν ἡμέρας τὰς πάσας μίαν
to-provision there they-stayed days the all one
καὶ εἴκοσι, καὶ τὰς νέας ἀνειρυσάμενοι, ὅσαι μὲν
and twenty and the ships having-hauled-up as-many-as indeed
ἐπεπονήκεσαν ἐπεσκεύαζον, τὰς δὲ ἄλλας ἐθεράπευον.
had-been-damaged they-repaired the and others they-tended

39.1 ἐνθένδε ὁρμηθέντες ἐς Ἱέρατιν πόλιν ἀπίκοντο, ἐς χῶρον
thence having-set-out to Hieratis city they-arrived at a-place
οἰκεόμενον. ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος·
inhabited seven-hundred and fifty stades the voyage

ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένῃ
they-anchored and in a-canal from the river cut
ἐς θάλασσαν, ᾗ οὔνομα ἦν Ἡράτεμις.
into sea whose name was Heratemis
ἅμα δὲ ἡλίῳ ἀνίσχοντι παραπλώουσιν ἐς ποταμὸν 39.2
at-the-same-time and with-sun rising they-coast to river
χειμάρροον, οὔνομα Πάδαργον, ὁ δὲ χῶρος χερσόνησος
torrent name Padargus the and place peninsula
ἅπας. καὶ ἐν αὐτῷ κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα
whole and in it gardens both many and fruit-trees
παντοῖα ἐφύετο· οὔνομα τῷ χώρῳ Μεσαμβρίη.
of-all-kinds grew name to-the place Mesambria
ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες καὶ διεκπλώσαντες 39.3
from Mesambria and having-set-out and having-sailed-through
σταδίους μάλιστα ἐς διηκοσίους ἐς Ταόκην ὁρμίζονται
stades roughly about two-hundred at Taoce they-anchor
ἐπὶ ποταμῷ Γράνιδι. καὶ ἀπὸ τούτου ἐς τὸ ἄνω τὰ
on river Granis and from this into the upward the
Περσέων βασιλήια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν
of-Persians palace was distant of-the river from-the
ἐκβολέων σταδίους ἐς διηκοσίους.
mouths stades about two-hundred
κατὰ τοῦτον τὸν παράπλοον λέγει Νέαρχος ὀφθῆναι 39.4
during this the coasting-voyage says Nearchus to-have-been-seen
κῆτος ἐκβεβλημένον ἐς τὴν ἠιόνα, καὶ τοῦτο
a-sea-monster cast-up onto the beach and this
προσπλώσαντάς τινας τῶν ναυτέων ἐκμετρῆσαι καὶ φάναι
having-sailed-up some of-the sailors to-have-measured and to-say
εἶναι πήχεων πεντήκοντα·
to-be of-cubits fifty

39.5 δέρμα δὲ αὐτῷ εἶναι φολιδωτόν, οὕτω τι ἐς βάθος
skin and to-it to-be scaly so something to depth
ἦκον, ὥστε καὶ ἐπὶ πῆχυν ἐπέχειν· ὄστρεά τε καὶ λοπάδας
reaching so-that even to a-cubit to-extend oysters both and limpets
καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα. καὶ δελφῖνας λέγει
and seaweeds many to-have grown-on and dolphins he-says
ὅτι κατορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτεϊ, καὶ τῶν
that to-see it-was many around the sea-monster and than-those
ἐν τῇ ἔσω θαλάσσῃ μέζονας τοὺς δελφῖνας.
in the inner sea larger the dolphins

39.6 ἐνθένδε ὁρμηθέντες κατάγονται ἐς Ῥόγονιν ποταμὸν
thence having-set-out they-put-in at Rogonis river
χειμάρροον ἐν λιμένι εὐόρμῳ· μῆκος τοῦ παραπλόου
torrent in harbor good-for-anchoring length of-the coasting-voyage
στάδιοι διηκόσιοι.
stades two-hundred

39.7 ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες αὐλίζονται
thence four-hundred stades having-sailed-through they-bivouac
ἐν ποταμῷ χειμαρρόῳ· Βρίξανα τῷ ποταμῷ οὔνομα.
at river torrent Brizana to-the river name
ἐνθαῦτα χαλεπῶς ὡρμίσαντο, ὅτι ῥηχίη ἦν καὶ βραχέα,
there with-difficulty they-anchored because surf was and shallows
καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον. ἀλλὰ ὅτε ἡ
and reefs from the sea projected but when the
πλήμμυρα ἐπῄει, τότε ὡρμίσαντο·
flood-tide came-on then they-anchored

39.8 ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηροῦ ὑπελείφθησαν
having-receded and the water on dry-land were-left
αἱ νέες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξι ἀμείβουσα ἐπανῆλθε,
the ships when and the flood-tide in order alternating returned
τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ·
then indeed having-sailed-out they-anchor at river

οὔνομα δὲ τῷ ποταμῷ Ὀροάτις. μέγιστος δὲ τῶν 39.9
name and to-the river Oroatis greatest and of-the
ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῷ παραπλόῳ
rivers as says Nearchus as-many-as in the coasting-voyage
τῷδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον.
this empty into the outer sea
μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τοῦδε Σούσιοι. 40.1
as-far-as this Persians dwell the-parts and from this Susians
Σουσίων δὲ ἄλλο ἔθνος αὐτόνομον κατύπερθε προσοικέει·
of-Susians and another people independent above dwells-near
Οὔξιοι καλέονται, ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ ἄλλῃ
Uxians are-called about whom has-been-said by-me in the other
συγγραφῇ ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παραπλόου τῆς
history that robbers they-are length of-the coasting-voyage of-the
Περσίδος χώρης στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι.
Persian country stades four-hundred and four-thousand
τὴν δὲ Περσίδα γῆν τριχῇ νενεμῆσθαι τῶν ὡρέων λόγος 40.2
the and Persian land in-three to-be-divided by-the seasons story
κατέχει.
holds
τὸ μὲν αὐτῆς πρὸς τῇ Ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον 40.3
the indeed of-it by the Red sea inhabited
ψαμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος, τὰ
sandy both to-be and fruitless from heat the-parts
δὲ ἀπὸ τοῦδε ὡς πρὸς ἄρκτον τε καὶ βορέην ἄνεμον
and from this as toward north both and northern wind
ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων, καὶ τὴν χώρην
of-those-going well to-be-tempered of-the seasons and the country
ποιώδεά τε εἶναι καὶ λειμῶνας ὑδρηλοὺς καὶ ἄμπελον
grassy both to-be and meadows watered and vine
πολλὴν φέρειν καὶ ὅσοι ἄλλοι καρποί, πλὴν ἐλαίης·
much to-bear and as-many-as other fruits except the-olive

40.4 παραδείσοισί τε παντοίοισι τεθηλέναι, καὶ ποταμοῖσι
with-parks both of-all-kinds to-flourish and with-rivers
καθαροῖσι διαρρέεσθαι καὶ λίμνῃσι, καὶ ὄρνισιν ὁκόσοισιν
clean to-be-watered and with-lakes and with-birds as-many-as
ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα ἵπποισί τε
about rivers both and lakes are the haunts for-horses both
ἀγαθὴν εἶναι, καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι νέμεσθαι,
good to-be and for-the other pack-animals to-graze
καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθηρον.
and wooded both in-many-places and full-of-game
40.5 τὴν δὲ πρόσω ἔτι ἐπ᾽ ἄρκτον ἰόντων χειμερίην τε καὶ
the and farther still toward north of-those-going wintry both and
νιφετώδεα, ὥστε πρέσβεας τινὰς ἐκ τοῦ Εὐξείνου πόντου
snowy so-that envoys some from the Euxine sea
λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας ἐντυχεῖν
says Nearchus very short road having-gone-through to-have-met
κατὰ τὴν ὁδὸν ἰόντι τῇς Περσίδος καὶ θῶμα γενέσθαι
along the road going — of-Persis and wonder to-have-arisen
Ἀλεξάνδρῳ, καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύτητα.
for-Alexander and to-have-told Alexander of-the road the shortness
40.6 Σουσίοισι δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι λέλεκταί μοι,
to-Susians and neighbors that are Uxians has-been-said by-me
κατάπερ Μάρδοι μὲν Πέρσῃσι προσεχέες οἰκέουσι, λῃσταὶ
as Mardians indeed to-Persians adjoining dwell robbers
καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισι.
also these Cossaeans and to-Medes
40.7 καὶ πάντα ταῦτα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος
and all these the peoples tamed Alexander in-winter
ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγον.
season having-fallen-on them when impassable their the country they-held

καὶ πόλιας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι 40.8
and cities he-founded for-the not nomads any-longer to-be
ἀλλὰ ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων
but plowmen and of-land workers and to-have for what
δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσονται. ἐνθένδε τὴν
fearing not evils to-one-another they-will-do thence the
Σουσίων γῆν παρήμειβεν ὁ στρατός.
of-Susians land passed the force
καὶ ταῦτα οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει Νέαρχος ὅτι 40.9
and these-things no-longer likewise exactly says Nearchus that
ἔστιν οἱ ἐκφράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε
it-is for-him to-describe except at-least indeed the anchorages both
καὶ τὸ μῆκος τοῦ πλόου·
and the length of-the voyage
τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν καὶ 40.10
the country for swampy both to-be the most and
ῥηχίῃσιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐπέχουσαν, καὶ ταύτῃ
with-breakers for great into the sea extending and in-this-way
σφαλερὴν ἐγκατορμίζεσθαι. πελαγίοισιν ὦν σφίσι τὴν
dangerous to-anchor-in in-the-open-sea then for-them the
κομιδὴν τὸ πολλὸν γενέσθαι.
passage the most to-have-been
ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, 40.11
to-have-set-out indeed indeed from the river the mouths
ἵναπερ ηὐλίσθησαν ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος,
where-indeed they-bivouacked at the borders — of-Persis
ὕδωρ δὲ ἐμβαλέσθαι πέντε ἡμερέων· οὐκ ἔφασκον γὰρ
water and to-have-taken-on of-five days not they-said for
εἶναι ὕδωρ οἱ κατηγεμόνες τοῦ πλόου.
to-be water the guides of-the voyage

41.1 σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται ἐπὶ
stades and five-hundred having-been-carried they-anchor at
στόματι λίμνης ἰχθυώδεος, ᾗ οὔνομα Κατάδερβις· καὶ
mouth of-lake full-of-fish whose name Catadarbis and
νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔνομα.
islet was-there at-the mouth Margastana to-the islet name
41.2 ἐνθένδε δὲ ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βραχέα
thence and toward the dawn having-sailed-out through shallows
ἐκομίζοντο ἐπὶ μιᾶς νεός· πασσάλοισι δὲ ἔνθεν καὶ
they-were-carried in one ship-file with-stakes and on-this-side and
ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βραχέα, κατάπερ ἐν
on-that-side fixed were-marked-out the shallows as in
τῷ μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης
the between of-Leucas both island isthmus and Acarnania
ἀποδέδεικται σημήια τοῖσι ναυτιλλομένοισι τοῦ μὴ
have-been-set marks for-the sailors for-the not
ἐποκέλλειν ἐν τοῖσι βραχέσι τὰς νέας.
to-run-aground in the shallows the ships
41.3 ἀλλὰ τὰ μὲν κατὰ Λευκάδα ψαμμώδεα ἐόντα τοῖσιν
but the-parts indeed by Leucas sandy being for-those
ἐποκείλασι ταχέαν τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ
having-run-aground quick the refloating allow there and
πηλός ἐστιν ἐπ᾽ ἑκάτερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης,
mud is on each-side of-the channel deep and slimy
ὥστε οὐδεμιῇ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι.
so-that by-no device for-those-aground it-was to-get-off
41.4 οὔτε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοῖς οὐδέν
neither for poles into the mud sinking them in-any-way
τι ἐπωφέλεον, ἀνθρώποις τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς
at-all helped for-men both to-disembark for-the to-push-off the

νέας ἐς τὰ πλεόμενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ
ships into the navigable impossible was they-sank for into
τοῦ πηλοῦ ἔστε ἐπὶ τὰ στήθεα.
the mud as-far to the breasts
οὕτω δὴ χαλεπῶς διεκπλώσαντες ἐς σταδίους ἑξακοσίους 41.5
so indeed with-difficulty having-sailed-through about stades six-hundred
κατὰ νέα ἕκαστοι ὁρμισθέντες, ἐνθαῦτα δείπνου ἐμνήσθησαν.
by ship each having-anchored there of-supper they-took-thought
τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλωον καὶ τὴν ἐπεξῆς 41.6
the night and already in deep-water they-sailed and the following
ἡμέρην ἔστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐνακοσίους,
day as-far to unyoking-time and they-went stades nine-hundred
καὶ κατωρμίσθησαν ἐπὶ τῷ στόματι τοῦ Εὐφράτεω πρὸς
and they-anchored at the mouth — of-Euphrates by
κώμῃ τινὶ τῆς Βαβυλωνίης χώρης — οὔνομα δὲ αὐτῇ
village some of-the Babylonian country name and to-it
Διρίδωτις—,
Diridotis
ἵνα λιβανωτόν τε ἀπὸ τῆς πέριξ γῆς οἱ ἔμποροι ἀγινέουσι 41.7
where frankincense both from the surrounding land the merchants bring
καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει.
and the other as-many-as incenses the of-Arabs land bears
ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτεω ἔστε ἐπὶ Βαβυλῶνα 41.8
from and the mouth — of-Euphrates as-far to Babylon
λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ
says Nearchus stades to-be about three-thousand and
τριηκοσίους.
three-hundred

42.1 ἐνθαῦτα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι.
there it-is-reported Alexander toward Susa to-be-marching
ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλωον, ὡς κατὰ τὸν
whence also they-themselves the back sailed so-that along the
Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμῖξαι Ἀλεξάνδρῳ.
Pasitigris river having-sailed-up to-join Alexander
42.2 ἔπλωον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερῇ τὴν γῆν τὴν
they-sailed indeed the back on left the land the
Σουσίδα ἔχοντες, καὶ παραπλώουσι λίμνην, ἐς ἣν ὁ
Susian having and they-sail-past a-lake into which —
Τίγρης ἐσβάλλει ποταμός,
Tigris empties river
42.3 ὃς ῥέων ἐξ Ἀρμενίων παρὰ πόλιν Νῖνον, πάλαι ποτὲ
which flowing from Armenia by city Ninus long-ago once
μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ
great and prosperous the middle between-itself both and
τοῦ Εὐφράτεω ποταμοῦ — ἣν Μεσοποταμίην ἐπὶ τῷδε
the Euphrates river which Mesopotamia for this
κληίζεσθαι — ἀπείργει.
to-be-called it-encloses
42.4 ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν στάδιοι ἑξακόσιοι,
from and the lake to itself the river stades six-hundred
ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν· αὕτη
where also a-village — of-Susis which they-call Aginis this
δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους. μῆκος
and is-distant from-Susa stades about five-hundred length
τοῦ παραπλόου τῆς Σουσίων γῆς ἔστε ἐπὶ τὸ στόμα τοῦ
of-the coasting-voyage of-the of-Susians land as-far to the mouth of-the
Πασιτίγριδος ποταμοῦ στάδιοι δισχίλιοι.
Pasitigris river stades two-thousand

ἐνθένδε κατὰ τὸν Πασιτίγριν ἀνέπλωον διὰ χώρης 42.5
thence up — Pasitigris they-sailed-up through country
οἰκεομένης καὶ εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ὡς
inhabited and prosperous having-sailed-up and stades about
πεντήκοντα καὶ ἑκατὸν ὁρμίζονται, προσμένοντες οὕστινας
fifty and hundred they-anchor waiting-for whom
ἐστάλκει Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη.
had-sent Nearchus about-to-find-out where the king might-be
αὐτὸς δὲ ἔθυε θεοῖσι τοῖσι σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε, 42.6
himself and sacrificed to-gods the saviors and contest held
καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν.
and the force the naval whole in good-cheer was
ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλωον 42.7
when and approaching already Alexander was-reported they-sailed
αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ
again into the upward along the river and by the
σχεδίῃ ὁρμίζονται, ἐπ᾽ ἧς τὸ στράτευμα διαβιβάσειν
pontoon-bridge they-anchor on which the army to-take-across
ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα.
was-about Alexander to Susa
ἐνθαῦτα ἀνεμίγη ὁ στρατός, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου 42.8
there mingled the force and sacrifices by Alexander
ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀνθρώπων τῇ σωτηρίῃ,
were-sacrificed for the ships both and the men the safety
καὶ ἀγῶνες ἐποιέοντο· καὶ Νέαρχος ὅκου παραφανείη
and contests were-held and Nearchus wherever be-appeared
τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο.
of-the army with-flowers both and ribbons was-pelted
ἔνθα καὶ χρυσέῳ στεφάνῳ στεφανοῦνται ἐξ Ἀλεξάνδρου 42.9
there also with-golden crown are-crowned by Alexander
Νέαρχός τε καὶ Λεόννατος, Νέαρχος μὲν ἐπὶ τοῦ
Nearchus both and Leonnatus Nearchus indeed for the

ναυτικοῦ τῇ σωτηρίῃ, Λεόννατος δὲ ἐπὶ τῇ νίκῃ, ἣν
fleet the safety Leonnatus and for the victory which
Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείτῃσι προσοικέοντας
Oreitae both he-defeated and the to-Oreitae neighboring
βαρβάρους. οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ ἐκ τοῦ Ἰνδοῦ
barbarians so indeed got-away-safe for-Alexander from — Indus
τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.
the mouths having-set-out the force

43.1 τὰ δὲ ἐν δεξιῇ τῆς Ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν
the-parts and on right of-the Red sea beyond —
Βαβυλωνίην Ἀραβίη ἡ πολλή ἐστι, καὶ ταύτης τὰ μὲν
Babylonia Arabia the most is and of-this the-parts indeed
κατήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε
reach as-far to the sea the by Phoenicia both
καὶ τὴν Παλαιστίνην Συρίην, πρὸς δυομένου δὲ ἡλίου ὡς
and the Palestinian Syria toward setting and of-sun as
ἐπὶ τὴν ἔσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέουσι.
to the inner sea Egyptians — with-Arabia border

43.2 κατὰ δὲ Αἴγυπτον ἐσέχων ἐκ τῆς μεγάλης θαλάσσης
by and Egypt opening-in from the great sea
κόλπος δῆλον ποιέει ὅτι εἵνεκά γε τοῦ σύρροον εἶναι
a-gulf plain makes that as-far-as at-least the confluent to-be
τὴν ἔξω θάλασσαν περίπλοος ἂν ἦν ἐκ Βαβυλῶνος
the outer sea circumnavigation — would-be from Babylon
ἐς τὸν κόλπον τοῦτον ἐσέχοντα ὡς ἐπ' Αἴγυπτον.
to the gulf this opening-in as to Egypt

43.3 ἀλλὰ γὰρ οὔ τις παρέπλωσε ταύτῃ οὐδαμῶν ἀνθρώπων
but for not anyone sailed-along here of-any men
ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι
from heat and desolation if not some at-least in-the-open-sea
κομιζόμενοι.
carried

ἀλλὰ οἱ ἀπ᾽ Αἰγύπτου γὰρ ἐς Σοῦσα ἀποσωθέντες 43.4
but those from Egypt for to Susa having-got-away-safe
τῆς στρατιῆς τῆς Καμβύσεω καὶ οἱ παρὰ Πτολεμαίου
of-the army — of-Cambyses and those from Ptolemy
τοῦ Λάγου παρὰ Σέλευκον τὸν Νικάτορα σταλέντες
the (son)-of-Lagus to Seleucus the Nicator sent
ἐς Βαβυλῶνα διὰ τῆς Ἀραβίης χώρης ἰσθμόν τινα
to Babylon through the Arabian country isthmus some
διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ τῇσι πάσῃσιν ἄνυδρον καὶ
having-traveled in days eight the all waterless and
ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες ὕδωρ
desert country went-over on camels with-haste driving water
τέ σφισιν ἐπὶ τῶν καμήλων φέροντες καὶ νυκτοπορέοντες·
both for-them on the camels carrying and traveling-by-night
τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα 43.5
the for days in-the-open to-endure because-of heat
ἀδύνατοι ἦσαν.
unable they-were
τοσούτου δέει τά γε ἐπέκεινα ταύτης τῆς χώρης, 43.6
so-much fall-short the-parts at-least beyond this the country
ἥντινα ἰσθμὸν ἀπεφαίνομεν ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου
which isthmus we-showed from the gulf the Arabian
κατήκοντα ἐς τὴν Ἐρυθρὴν θάλασσαν οἰκεόμενα εἶναι,
reaching to the Red sea inhabited to-be
ὁκότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά
since the-parts toward north more of-them projecting deserted
τέ ἐστι καὶ ψαμμώδεα.
both are and sandy
ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ᾽ Αἴγυπτον 43.7
but for from the Arabian gulf the by Egypt
ὁρμηθέντες ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν
having-set-out men having-sailed-round the most

Ἀραβίην τοῦ ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας
Arabia for-the to-come into the by Susa both and Persians
θάλασσαν, ἐς τοσόνδε ἄρα παραπλώσαντες τῆς Ἀραβίης,
sea to so-far then having-coasted — of-Arabia
ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς
as-far as for-them the water sufficed the put-aboard into the
νέας, ἔπειτα ὀπίσω ἀπενόστησαν.
ships then back returned

43.8 ἐκ Βαβυλῶνος δὲ οὕστινας ἔστειλεν Ἀλέξανδρος, ὡς
from Babylon and whom sent Alexander as
ἐπὶ μήκιστον πλώοντας ἐν δεξιῇ τῆς Ἐρυθρῆς θαλάσσης
for farthest sailing on right of-the Red sea
τοῦ γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νήσους μέν τινας
for-the to-learn the there places these islands indeed some
κατεσκέψαντο ἐν τῷ παραπλόῳ κειμένας,
explored in the coasting-voyage lying

43.9 καὶ κου καὶ τῇ ἠπείρῳ τῆς Ἀραβίης προσέσχον, τὴν δὲ
and perhaps also to-the mainland — of-Arabia put-in the but
ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει
cape which opposite — of-Carmania projecting says
φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβαλὼν
to-have-appeared to-them Nearchus not there-is whoever having-passed
ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο.
to-turn into the on the-other-side able was

43.10 δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ,
I-think and that if navigable both it-was and walkable here
ὑπ᾽ Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο
by of-Alexander — the restless-enterprise would-have-been-proved
πλωτά τε καὶ βαδιστὰ ἐόντα.
navigable both and walkable being

Ἄννων δὲ ὁ Λίβυς ἐκ Καρχηδόνος ὁρμηθεὶς ὑπὲρ 43.11
Hanno and the Libyan from Carthage having-set-out beyond
μὲν Ἡρακληίας στήλας ἐξέπλωσεν ἐς τὸν ἔξω πόντον,
indeed of-Heracles pillars sailed-out into the outer sea
ἐν ἀριστερῇ τὴν Λιβύην ἔχων· καὶ ἔστε μὲν πρὸς
on left — Libya having and as-far-as indeed toward
ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγένετο τὰς πάσας πέντε
rising sun the voyage for-him was the all five
καὶ τριήκοντα ἡμέρας·
and thirty days
ὡς δὲ δὴ ἐς μεσαμβρίην ἐξετράπετο, πολλῇσιν 43.12
when and indeed to south he-turned-aside with-many
ἀμηχανίῃσιν ἐνετύγχανεν ὕδατός τε ἀπορίῃ καὶ καύματι
difficulties he-met of-water both by-lack and by-heat
ἐπιφλέγοντι καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν.
blazing and by-streams of-fire into the sea emptying
ἀλλὰ ἡ Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖσι ἐρημοτέροισι 43.13
but — Cyrene for — of-Libya in the more-desert-parts
πεπολισμένη ποιώδης τέ ἐστι καὶ εὔυδρος καὶ καρπῶν
founded grassy both is and well-watered and of-fruits
παντοίων καὶ κτηνέων πάμφορος ἔστε ἐπὶ τοῦ σιλφίου
of-all-kinds and of-cattle all-bearing as-far to the silphium
τὰς ἐκφύσιας· ὑπὲρ δὲ τὸ σίλφιον τὰ ἄνω αὐτῆς
the growths beyond and the silphium the-parts upper of-it
ἔρημα καὶ ψαμμώδεα.
desert and sandy
οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς ἐς 43.14
this to-me the account let-have-been-recorded tending also itself to
Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.
Alexander the (son)-of-Philip the Macedonian